μάτων καὶ τὰν καταδικᾶν καὶ αὐτὼς καὶ τὰ χρήματα, ἅ κα ἐπιμαρτυρήσωντι, καὶ μὴ ἦμεν μήτε ἄρ|νησιν μήτε παλινδικίαν, μηδὲ κὰτ ἄλλον μηδὲ ἕνα τρόπον τᾷ πόλι πράγματα παρέχεν μηδὲ τοῖς ὑ|πὲρ τᾶς πόλιος πρασσόντασσι· αἰ δὲ μή, ἀτελὲς ἦμεν. — Δεύτερος. Ὁ δὲ τὸν δεύτερον (χῶρον) μισθωσάμενος | καρπευσῆται ἀπὸ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν τετρώρων ἀγώσας ἐπὶ τὸν ἄντομον τὸν πρᾶτον, ὅσ|σος κ' εἶ, καὶ πραξεῖ πάντα κὰτ τὰν συνθήκαν καὶ ὑπόλογος ἐσσῆται καὶ αὐτὸς καὶ τοὶ πρωγγύοι, ὅτι κα | μὴ πράξει κὰτ τὰν συνθήκαν. — Τρίτος. Ὁ δὲ τὸν τρίτον χῶρον μισθωσάμενος καρπευσῆται ἀπὸ τῶ ἀν|τόμω τῶ ἀνώτερον τᾶς τριακονταπέδω πὸτ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τριακονταπέδω καὶ | πραξεῖ πάντα κὰτ τὰν συνθήκαν καὶ ὑπόλογος ἐσσῆται καὶ αὐτὸς καὶ τοὶ πρωγγύοι, ὅτι κα μὴ πρά|ξει κὰτ τὰν συνθήκαν. — Τέταρτος. Ὁ δὲ τὸν τέταρτον χῶρον μισθωσάμενος πάρ τε τῶν πολιανό|μων τῶν ἐπὶ Ἀριστίωνος ἐφόρω καὶ τῶν ὁριστᾶν καὶ πὰρ τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστάρχω τῶ Ἡρα|κλείδα ἐφόρω, ἆ ἄνθεμα Φιλωνύμω τῶ Φιλωνύμω, ἆ ἔμβολος Ἡρακλείδα τῶ Τιμοκράτιος, καρπευ|σῆται ἀπὸ τῶ ἀντόμω τῶ τρίτω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διο|νύσω χώρως καὶ τὰ Φιντίας ὁ Κρατίνω παμωχεῖ. Ὁ δὲ ἀνέλόμενος ἐργαξῆται τὰ μὲν ἄλλα κὰτ τὰν | συνθήκαν, καθὼς καὶ τὼς λοιπὼς γεγράπται· τὰς δὲ ἀμπέλως τὰς ὑπαρχώσας ἐργαξῆται ὡς βέλτι|στα· ὅσσαι δέ κα τᾶν ἀμπέλων ἀπογηράσκωντι, ποτιφυτευσεῖ, ὥστε ἀεὶ ὑπάρχεν τὸν ἴσον ἀριθμὸν τᾶν | σχοίνων τὸν νῦν ὑπάρχοντα, ϝίκατι τετόρας σχοίνως· αἰ δὲ μή, προκαδδεδικάσθω δύο μνᾶς ἀργυρίω | πὰρ τὰν σχοῖνον ἑκάσταν. Τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα δένδρεα τὰ ἥμερα τὰ ὑπάρχον|τα πάντα ἐν τᾷ μερίδι ταύτᾳ περισκαψεῖ καὶ ποτισκαψεῖ καὶ περικοψεῖ τὰ δεόμενα, καὶ αἴ τινά κα γήρᾳ ἢ | ἀνέμῳ ἐκπέτωντι, ἀποκαταστασεῖ μὴ μείω τὸν ἀριθμὸν τῶν ὑπαρχόντων. Ποτιφυτευσεῖ δὲ καὶ ἐλαίας | ἐν τᾷ ψιλᾷ ὁμολόγως ποίων τοῖς ὑπαρχόντασσι δενδρέοις καὶ τὸν ἀριθμὸν τὸν ἴσον καθὼς καὶ ἐν τᾷ | ἄλλᾳ sic συνθήκᾳ γεγράπται. Ὅτι δέ κα μὴ πράξει ὁ ἀνέλόμενος κὰτ τὰν συνθήκαν ἢ μὴ ἐν τοῖς χρό|νοις τοῖς γεγραμμένοις, ὑπόλογος ἐσσῆται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἐπὶ τῶ ϝέτεος, | καθὼς καὶ ἐν τᾷ ἄλλᾳ συνθήκᾳ γεγράπται. Αἰ δέ κα τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντες μὴ

πρά|ξωντι πάντα κὰτ τὰν συνθήκαν, αὐτοὶ ὑπολόγοι ἐσσόνται κὰτ τὰν συνθήκαν.

Ἐπὶ τούτοις ἐμισθώσαν|το· τὰν μὲν πράταν μίσθωσιν ἀπὸ τῶν τῶ Ἡρῴδα· με κιβώτιον Βορμίων Φιλώτα πεντήκοντα ἑπτὰ μεδί|μνων, κάδδιχος· πρώγγυος τῶ σώματος με κιβώτιον Ἀρκὰς Φιλώτα· τὰν δὲ δευτέραν μίσθωσιν α | ἔμβολος Δάμαρχος Φιλωνύμω τετρώκοντα μεδίμνων· πρώγγυος τῶ σώματος . . . . Θεόδωρος Θε|οδώρω· τὰν δὲ τρίταν μίσθωσιν Ϝε γυῖον Πεισίας Λεοντίσκω τριάκοντα πέντε μεδίμνων· πρώγγυος | τῶ σώματος κν σφαιρωτῆρες Ἀριστόδαμος . . . .· τὰν δὲ τετάρταν μίσθωσιν αλ λωτήριον | Φίλιππος Φιλίππω διακατίων ἑβδεμήκοντα ὀκτὼ μεδίμνων· πρώγγυος τῶ σώματος πε καρύκειον | Ἀπολλώνιος Ἡρακλήτω. |

Γραμματεὺς Ϝε γυῖον Ἀριστόδαμος Συμμάχω· γαμέτρας Χαιρέας Δάμωνος Νεαπολίτας.

44 II.

Ἔφορος Δάζιμος. Ἁ πόλις | καὶ τοὶ ὁρισταί· Ϝε τρίπους Φιλώ|νυμος Ζωπυρίσκω, πε καρύκειον | Ἀπολλώνιος Ἡρακλήτω, αἰ πέλ||τα Δάζιμος Πύρρω, Ἀθάνᾳ Πολιάδι. |

Ἀνεγράψαν τοὶ ὁρισταὶ τοὶ αἱρεθέντες ἐπὶ τὼς χώρως τὼς ἱα|ρὼς τὼς τᾶς Ἀθάνας τὼς ἐν Κοίλᾳ, Φιλώνυμος Ζωπυρίσκω, Ἀπολ|λώνιος Ἡρακλήτω, Δάζιμος Πύρρω, καθὰ ὡρίξαν καὶ συνεμε|τρήσαν καὶ ἐτερμάξαν καὶ ἐμερίξαν τῶν Ἡρακλείων δια|γνόντων ἐν χακαχλήτῳ ἁλίᾳ.

Συνεμετρήσαμες δὲ ἀρξαμένοι | ἀπὸ τῶ ἀντόμω τῶ ἀπὸ Καινᾶν ἄγοντος ἐπὶ τὰν ὁδὸν τὰν τρι|ακοντάπεδον τὰν ἐπὶ θάλασσαν ἄγωσαν, καὶ ἐγένοντο ἀπὸ | τῶ ἀντόμω ποτὶ τὰν βουβῆτιν·τὰν διὰ τῶν γυᾶν ἐκ πόλιος ῥέω|σαν ἑπτὰ γύαι, ἀπὸ δὲ τᾶς βουβήτιος ἐπὶ τὰν τριακοντάπεδον || τρεῖς καὶ δέκα γύαι· ἀπὸ δὲ τᾶς τριακονταπέδω ἐπὶ τὰν τριακον|τάπεδον τὰν διὰ τῶν τριημιγύων ἄγωσαν, καὶ ἐγένοντο | ἐννέα τριημίγυα. Διαβάντες δὲ τὰν τριακοντάπεδον ἐμε|τρίωμες ποτὶ τὸν Ϝικατίδειον καὶ ἀπεμετρήσαμες τὸ δέκα|τον τριημίγυον. Τὰ δὲ τρίγυα οὐκ ἐξεποῖον, καθὼς τὸ ἀρχαῖον || εὑρίσκομες γεγενημένα, ἀλλὰ πενθημίγυον μόνον κα|τελείπετο ἐκ τῶν δυῶν τριγύων, τὰν δὲ λοιπὰν γᾶν Ϝιδίαν | τινὲς ἐπεποίηντο· ταύταν ἀποκατεστάσαμες τᾷ Ἀθάνᾳ | κὰτ τὰ ἀρχαῖα.

Ἀπὸ δὲ τῶ ϝικατιδείω τὰν ἐς ποταμὸν τὸν Ἄκιριν | γᾶν ποτιγενομέναν τὰν ἐμ μέσσῳ τᾶς τε ἑκατομπέδω | καὶ τᾶς Ἡρακλείας ὁδῶ, καὶ ταύταν πᾶσαν ϝιδίαν ἐπεποίηντό | τινες· καὶ τοὶ μὲν ἐριξάντες ἀπέσταν, τοῖς δὲ ἐδικαξάμεθα δίκας | τριακοσταίας. Καὶ ἀποκαταστασάντες τᾷ θεῷ κὰτ τὰ ἀρχαῖα ταύ|ταν τὰν γᾶν κατεδασσάμεθα καὶ ὅρως ἐπάξαμες ἐφ' ἑκάστας τᾶς | μερίδος. Καὶ ἐποιήσαμες πὰρ τὸ τριημίγυον τὸ δέκατον πρᾶτον τρί|γυον, ποτθέντες πὸτ τὸ πενθημίγυον ἀφ' ἇς κατεσώξαμες γᾶς, ὥσ|τ' ἦμεν ἔκπλεον εὖρος τρίγυον, μᾶκος ἀπὸ τᾶς ἑκατομπέδω ἄχρι πὸτ | τὰν Ἡρακλε[ί]αν ὁδὸν ἂν τὼς ὅρως, καὶ ἐγένοντο σχοίνοι ἑκατὸν τρι|άκοντα ὀκτώ, ὀρέγματα ὀκτώ, ψιλᾶς μὲν ἑκατὸν τριάκοντα τρῖς, ὀρέγματα ϝίκατι | ϝέξ, ποῦς, ἀμπέλων δὲ τετόρες σχοίνοι, ὀρέγματα δέκα ἕν, πόδες || τρῖς· αὗτα ἁ γᾶ ἐμισθώθη τὰν πράταν πενταετηρίδα διακοσίων | ϝεξήκοντα ἐννέα μεδίμνων, χοός, δυῶν χοινίκων. Ἀπὸ δὲ τούτω* | τῶ τριγύω ἐμετρήσαμες πὸτ τὸ|ν ϝικατίδειον δεύτερον τρίγυον εὖ|ρος ἂν τὼς ὅρως, μᾶκος ἀπὸ τᾶς ἑκατομπέδω ποτὶ τὰν Ἡρακλείαν | ὁδόν, καὶ ἐγένοντο σχοίνοι ἑκατὸν τριάκοντα ἐννέα, ψιλᾶς μὲν ἑ|κατὸν ϝίκατι τρῖς σχοίνοι, ἀμπέλων δὲ δέκα ϝὲξ σχοίνοι· τοῦτο τὸ τρί|γυον ἐμισθώθη ϝεξακατίων ἐνενήκοντα πέντε μεδίμνων. |

Διαβάντες δὲ τὸν ϝικατίδειον ἐποιήσαμες πράταν μερίδα πὰρ ἑκ[α]|τόνπεδον, ἐν ᾇ ἁ ἀμπελωργικά, καὶ ἐτάμομες κοινὰν πόθοδον ἐκ τῶ | ϝικατιδείω πὸτ τὰν οἰκίαν ϝικατίπεδον καὶ ἀπὸ τᾶς οἰκίας πὰρ τὰς ἀμ|πέλως ἄχρι ἐς ποταμὸν ὀκτάπεδον. Καὶ ἐμετρίωμες ἀπὸ τῶ ϝικατιδείω | τὸ πὸτ Ἄκιριν ἐπὶ τὰν διαστολὰν τὰν πλαγίαν τὰν ἀπὸ τᾶς ποθόδω τᾶς κοι|νᾶς ἀγώσας ἐς τὰν ἑκατόνπεδον, καὶ ἐγένοντο πεντήκοντα ἐννέα σχοί|νοι ἡμίσχοινον, ψιλᾶς μὲν πεντήκοντα μία, ὀρέγματα ἑπτά, ἀμπέλων δ[ὲ] | ὀκτὼ σχοίνοι, ὀρέγματα ὀκτώ· αὗτα ἐμισθώθη τετρακατίων τεσσαρά[κον]|τα ϝὲξ μεδίμνων, καδδίχων τεσσάρων. Δευτέρα μερίς, ἐν ᾇ ἁ οἰκία [ἐ]|στί, μᾶκος ἀπὸ τῶ ϝικατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅ|ρων καὶ τᾶς ποθόδω τᾶς ὀκταπέδω τᾶς ἐς ποταμὸν ἀγώσας ἐπὶ τὼς ὅρως, | καὶ ἐγένοντο ϝεξήκοντα τρεῖς σχοίνοι, ὀρέγματα δέκα δύο· ταύτᾳ τᾷ μερίδ[ι] | ποτεδασσάμεθα ἀμπέλων τὰν πράταν διαστολὰν τὰν πὰρ τὰν ἑκατόνπε|δον ὀκτὼ σχοίνως, ὀρέγματα ϝείκατι ϝέξ, πόδας δύο, καὶ ἐγένετο ἁ πᾶσα μερὶς | ἑβδεμήκοντα δύο σχοίνοι,

ὀρέγματα ὀκτώ, πόδες δύο· αὖτα ἐμισθώθη ϝεξα|κατίων τριάκοντα δυῶν μεδίμνων, χοός. Τρίτα μερὶς μᾶκος ἀπὸ τῶ ϝεικατι|δείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς δευτέρας | μερίδος ἐπὶ τὼς ὅρως, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα ϝὲξ σχοίνοι ἡμίσχοι|νον· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν δευτέραν διαστολὰν ἀφ' εκα|τονπέδω ἑπτὰ σχοίνως, ὀρέγματα δέκα ἑπτά, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ἑβδε|μήκοντα τετόρες σχοίνοι ὀρέγματα δύο· αὖτα ἐμισθώθη ϝεξακατίων τριάκοντα | μεδίμνων, δυῶν καδδίχων, χοινίκων δυῶν. Τετάρτα μερὶς μᾶκος ἀπὸ τῶ ϝι|κατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς τρί|τας μερίδος ἐπὶ τὼς ὅρως καὶ ἐπὶ τὸν ἄντομον τὸν διατάμνοντα τὼς χώρως, τὸν | ἐτάμομες ἐκ τῶ ϝικατιδείω ἐς ποταμὸν κοινὸν πᾶσι χρῆσθαι τοῖς τὼς ἱαρὼς χώ|ρως μεμισθωμένοις, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα ὀκτὼ σχοίνοι, ὀρέγμα|τα δέκα τρία· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν διαστολὰν | ἀφ' εκατομπέδω τὰν ποτικλαίγωσαν πὸτ τὰν πόθοδον τὰν ὀκτάπεδον δέκα πέντε‖ σχοίνως, ὀρέγματα ἑπτά· ἐγένετο ἁ πᾶσα μερὶς ὀγδοήκοντα τρεῖς σχοίνοι, ὀρέγμα|τα ϝείκατι· αὖτα ἐμισθώθη ϝεξακατίων τριάκοντα μεδίμνων.

Ἀπὸ δὲ τῶ | ἀντόμω τῶ διατάμνοντος τὼς χώρως τῶ ἐς ποταμὸν ἄγοντος τῶ ϝι|κατιπέδω ἐμετρίωμες μᾶκος μὲν ἐπὶ τὰν Ἡρακλείαν, εὖρος δὲ ἀπὸ | τῶ ϝικατιδείω ἐπὶ τὼς ὅρως τὼς πράτως, καὶ κατελίπομες ‖ πόθοδον ἐκ τῶ ϝεικατιδείω ποτὶ τὰν οἰκίαν ϝεικατίπεδον, καὶ ἐγένετο | ἁ μερὶς αὖτα ψιλᾶς ϝεξήκοντα δύο σχοίνοι· ταύτᾳ τᾷ μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πράταν στάσιν τὰν πὸτ τὸν ϝικατίδειον ϝὲξ σχοί|νως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ϝεξήκοντα ὀκτὼ σχοίνοι ἡμί|σχοινον· αὖτα ἐμισθώθη ὀκτακατίων πεντήκοντα ϝὲξ μεδίμνων, καδδί|χων τετόρων. Δευτέρα μερὶς ἀπὸ τῶ ϝικατιδείω, ἐν ᾇ ἁ οἰκία ἐστί, | ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ἡρακλείαν, εὖ|ρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς πεντήκοντα ἐννέα | σχοίνοι ἡμίσχοινον· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων | τὰν δευτέραν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐ|γένετο ἁ πᾶσα μερὶς ϝεξήκοντα ϝὲξ σχοίνοι· αὖτα ἐμισθώθη τετρα|κατίων πεντήκοντα ὀκτὼ μεδίμνων, καδδίχων δέκα τετόρων, δυ|ῶν χοινίκων.

Τρίτα μερὶς ἀπὸ τῶ ϝικατιδείω πὸτ τὰς ἀμπέλως, ἀπὸ τῶ | ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ἡρακλείαν, εὖρος ἀ|πὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς ϝεξήκοντα τρῖς σχοίνοι ἡ|μίσχοινον· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν | στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα με|ρὶς ἑβδεμήκοντα σχοίνοι· αὕτα ἐμισθώθη τριακατίων ϝὲξ μεδίμνων, καδ|δίχων τετόρων. Τετάρτα μερὶς ἀπὸ ϝικατιδείω μᾶκος μὲν ἀπὸ τῶ ἀντόμω | τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν πὰρ τὰς ἀμπέλως ἄγωσαν, | εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς τετρώκοντα ὀκτὼ | σχοίνοι· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τετάρταν στά|σιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς πεν|τήκοντα τετόρες σχοίνοι ἡμίσχοινον· αὕτα ἐμισθώθη διακατίων τριάκον|τα πέντε μεδίμνων, καδδίχων δέκα πέντε. Πέμπτα μερὶς ἀπὸ ϝικατι|δείω μᾶκος ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν | πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὰν νᾶσον, καὶ ἐγέ|νετο ψιλᾶς ϝεξήκοντα τετόρες σχοίνοι· ταύτᾳ τᾷ μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πέμπταν στάσιν ἀπὸ ϝικατιδείω ἑπτὰ σχοί|νως, ὀρέγματα δέκα ἑπτά, πόδας δύο, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ἑβδε||μήκοντα μία σχοίνοι, ὀρέγματα ἑπτά, πόδες δύο· αὕτα ἐμισθώθη πεντα|κατίων ὀγδοήκοντα μεδίμνων, καδδίχων δέκα πέντε. ϝέκτα μερὶς | τὸ ἔγγωνον τὸ πὰρ τὰς ἀμπέλως τὸ ποτικλαῖγον πὸτ τὰν Ἡρακλείαν κα[ὶ] | πὸτ τὸν ποταμόν, καὶ ἐγένετο ψιλᾶς τριάκοντα σχοίνοι· ταύτᾳ (τᾷ) μερίδι πο|τεδα[σ]σάμεθα ἀμπέλων ὀκτὼ σχοίνως ἡμίσχοινον τὰς ἐχομένας τῶ || χωρί[ω τούτω, καὶ ἐγένε]το [ἁ] πᾶσα μερὶς τριάκοντα ὀκτὼ σχοίνοι ἡμίσχοινο[ν· | αὕτα ἐμισθώθη. . . . . .ἑ]νὸς με[δίμνων]. . . . .

(Cetera desunt.)

Tabulas Heracleenses post alios edidit Franz CIG. 5774. 5775. Repetiit in dissertatione »de dialecto Heracliensium Italicorum« Meister Stud. IV (1871) p. 449 sqq. — Literatura est Ionica, sed eo a volgari differt, quod ⊏ digammi et ⊢ spiritus asperi notas strenue servavit. Tabulas, quarum altera alteram nonnullis annis superat, inscriptas esse exeunte seculo quarto quamquam non certum tamen verisimile est; cf. Franz l. l. (CIG.

III) p. 705, Meister p. 360. 448. Continent rationes a magistratibus Heracleensium, qui ὁρισταὶ appellabantur, relatas de agris et hortis sacris Bacchi et Minervae. Quorum agrorum hortorumque cum fines bello turbati essent, »finitoribus« officium delatum est, ut novos terminos ponerent, de elocandis agris hortisque certas leges constituerent, secundum has leges ipsi eos elocarent. Hoc munere quomodo perfuncti essent, in his tabulis exposuerunt. — Notanda sunt vocabula nominibus propriis praeposita: ἄνθεμα vel ἄνθεμον, βότρυς, γυῖον, ἔμβολος, ἐπιστύλιον, θρῖναξ, καρύκειον, κιβώτιον, λωτήριον, πέλτα, σφαιρωτῆρες, τρίπους, quae significant insignia nobilium familiarum; sigla autem duabus literis composita, quae haec vocabula antecedunt, ᾱ, αῑ, ᾱλ̄, ᾱσ̄, ϝε, κν, με, πε, notare videntur nomina gentium, in quibus illae familiae fuerunt.

40, 10 Ξ·ΞΑΝ. — 11 ΔΙΑΚΝΟΝΤΩΝ. — ἀλίᾳ: alioquin est ἁλία, cf. Ahrens Dial. II 37. — 36 χιλίαι, 37 δισχιλίαι: Ahrens Dial. II 160 postulabat Doricum χηλίαι (cf. Lacon. n. 11); sed χιλίοι ex sermone volgari in dialectum Heracleensium irrepsit, ut τετρακοσίαι 40, 40; cf. Meister p. 386. — 44 Φιντία; Dorice pro Φιλτία, cf. Meister p. 410 sq. — 50 ποϊόντασσιν: eadem est in his tabulis forma omnium dat. plur. participiorum (sed πᾶσι 41, 66), quam formam explicare conatus est J. Schmidt, Zeitschr. vgl. Sprachf. 25 (1881) p. 590 sq. — 59 ΤΑΝ literae deletae. — 65 ἀκροσκιρίαις: cf. καθ' ἄκρον in fragmento Corcyraeo, C. Wachsmuth, Rh. Mus. 18 (1863) p. 359. — 90 I litera deleta. — 101 καὶ (αἴ) κ': crasin in tabulis Heracleensibus nusquam admissam esse monuit Meister p. 395. — 102 ἀποδίνωντι: de δίνω simplici verbo cf. Ahrens Dial. II 339. — 104 φέρει: eadem terminatio coniunctivi frequens in his tabulis; cf. Blass Musspr. p. 40 sq. — 121 γεγραψάται: noli corruptum putare; cf. Ahrens Dial. II 333. — 127 ἐπελάσθω: contractum ex ἐπελαόσθω, cf. Ahrens Dial. II 196, Curtius Verb. II² 66. — 152 ἐγϝηληθίωντι: i. e. ἐξειληθῶσι, cf. Ahrens Dial. II 160, qui affert Hesychii glossam βήλημα· κώλυμα — Λάκωνες; idem verbum cum ἀπό compositum exstat in titulis Eleis IGA. 113b. 117. 118. — 153 ἀνέωσθαι: i. e. ἀνεῖσθαι, cf. Ahrens Dial. II 344. — 166 Τιμοκράτιος: cf. n. 196. — 167 τῶ ἀντόμω τῶ τρίτω: debebat scribere τῶ δευτέρω, cf. v. 30. 31.

41, 22 ΑΠΕΚΑΤΕΣΤΑΣΑΜΕΣ. — 36 fin. ΤΩ literae

deletae. — 42 fin. ΓΙ. — 46 τὸ πὸτ Ἄκιριν: τῶ scripserunt Franz, Meister; sed cf. 23. 72. 74.

---

42 [= 10] Lapis repertus Heracleae in Magna Graecia.

Ἱστιαία πρὸ | αὐταύτας κ[αὶ τᾶς
Ἀφροδ]ιτίας Δορκὰς | ἀνέθηκε.

CIG. 5776 *add.* Spiritus asperi nota est ⊢ ut in n. 40. 41. Franz monet Ἱστίαιαν esse Ἑστίαν.

II. Tituli Messenii.

43 Stela parva Messenae reperta.

Ἐπὶ ἱαρέος Τ]ιμάρχω ἀφί[ητι
Φιλωνίδ[ας τὸν δεῖνα].

Foucart apud Le Bas, Voy. arch. II n. 309 et Explic. p. 154.

---

44 Pila reperta Messenae prope theatrum; nunc in museo.

. . . .
ν συμμάχων εντ. . . . .
. . . . . τοι καὶ τω . . . .
. . . . . τριάκοντα . . . .
. . αὐ]τοῖς καὶ ἐγγόνοις . . . .
. ἔμπ]ασιν καὶ πολέμω . . . .
. . . . οισ. δωμεσ . . . .
. . . . . . βολο. ησαντοι . . . .
. . . . π]ροξενο. . . . .
| Θρασυβούλῳ || Αἰγύπτω, | Φ. . . . ωνι |
Ἀ[ν]δ[ρο]νίκω, | Ἀλεξάν[ο]ρι | Α. . . . . κω, ||
Ἀντ[ιπ]άτρῳ | Ἀριστοκράτεο[ς], | Κορύμ-
βῳ | Σιδάνω, | Πίργει || Ἱερωνύμω, |
Ἐχεφυλίδᾳ | Πανταλέοντος, | Ὀλυμπιο-
δώρῳ | Καλλίππω, || Κακοσθένει | Ἀλεξ-
ίππω, | Ἀρχιλόχῳ | Ἀλεξάνορο[ς], | [Ἱπ-
πο]θόων[ι] || Δειο[κλέος?]. . . .

Jules Martha, Bull. Corr. Hell. V (1881) p. 151 sq. n. 3. Aetatem putat esse initium seculi 3. — Messenii sociis quibusdam propter virtutem in bello exhibitam proxeniam donant.

29 [Ἱππο]θόων[ι]: cf. Ἱπποθῶν in vase Agrigentino CIG. 7434 *b*. — 30 Δειο[κλέος?]: cf. Δειοκλῆ in titulo Erythraeo aetatis Romanae CIG. 3135.

---

45 [= 12] Tabula Phigaliae reperta.

[Ἐπειδὴ παραγενόμενο]ι πρεσβε[υ]ταὶ καὶ διαλυ-
[ταὶ παρὰ τῶν Αἰτω]λῶν Τίμαιος Κλεόπατρο-
[ς, ἔχοντες τὸ ψάφισ]μα τὸ παρὰ τῶν Αἰτωλῶν, ἀπ-
[οδόντες τὸ ψάφισμα] διελέγοντο ὅμοια τοῖς ἐν τ-
[ῷ ψαφίσματι ἀξ]ιῶντες διαλυθῆμεν ποτὶ τῶ-
[ς Φιαλέας, συνπ]αρόντες δὲ καὶ τῶν ἐ Φιαλείας
[πρεσβευτᾶν] . . . . . . Θαρυχίδας, Ὀνόμανδρος, Ἀμφίμα-
[χος] . . . . λας, Ὀρθολαΐδας, Κραταιμένης, Τι-
. . . ., [Δ]αμάρετος τὰ αὐτὰ ἠξίων, ἔδοξε τᾷ
[πόλι τῶν Μ]εσ[σ]ανίων· ἦμεν τοῖς Μεσσανίοις κα-
[ὶ τοῖς Φια]λέοις ἰσοπολιτείαν καὶ ἐπιγαμία-
[ν ποτ' ἀλλ]άλως· ποιήσασθαι δὲ καὶ συμβολὰν ἅ-
[ν κα δοκεῖ] ἀνφοτέραις ταῖς πολέοις, τὰν δὲ χ-
[ώραν καρπ]ίζεσσθαι ἑκατέρως τώς τε Μεσ[σ]ανίω-
[ς καὶ τὼς Φι]αλέας, καθὼς καὶ νῦν καρπιζόμεθα.
[Ὁπόσα δέ κ]α ὁμολογήσωμεν ποτ' ἀλλάλως, ὀμό-
[σαι ἀνφοτέρ]ως καὶ στάλας καταθέσθαι ἐν τοῖς
[ἱεροῖς, ὅπᾳ κ]α δοκεῖ ἀνφοτέραις ταῖς πολέο-
[ις. Εἰ δέ κα μὴ ἐμ]μένωντι οἱ Φιαλέες ἐν τᾷ φιλ-
[ίᾳ ποτὶ τὼς Με]σσανίως καὶ Αἰτωλώς, ἄκυρος ἔ-
[στω αὕτα ἁ ὁμολο]γία. Ἔδοξε δὲ καὶ τοῖς Φιαλέ[ο]-
[ις τὰ αὐτὰ ἅπερ ο]ἱ Μεσσάνιοι ἐψαφίξαντ[ο. — Ὅρκ]-
[ος Μεσσανίων· ὀμ]νύω Δία Ἰθωμάταν, Ἥρα[ν]
. . . . ον καὶ θεὼς ὁρκ[ίως πάντας]·
[ἦ μὰν ἐμμενεῖν] ἐν τᾷ φιλία[ι] . . . . . .
. . . . [Φι]αλέας τ . . . .
. . . . μεν . . . .

Foucart apud Le Bas Voy. arch. II n. 328*a* (Explic. p. 177). — Foedus inter Messenios et Phigalenses, quod hoc titulo contine-

tur, factum esse putandum est exeunte seculo a. Chr. 3, sed non intra aa. 220—213; nam his annis Messenii inter adversarios foederis Aetolici erant (cf. supra v. 20 et Polyb. IV 16. VIII 14). Dialecto Messeniae nonnulla ex Aetolica admixta sunt (Φιαλέοις 11, πολέοις 18).

---

46 Thuriae.

Ἱερεὺς τᾶς Ἀθάνας Νίκων Νικοστρά[του], | γυμνασίαρχος Σῖμος Σωσάνδρου, ὑπο[γυ]μνασίαρχος Ξενοκλῆς Δαμοκράτεος. | Ἔφηβοι· || Χαρησίδαμος Δαμοτέλεος, | Φιλόξενος Ἀγαθαμέρου, | Ἱπποκράτης Ἵππωνος, | Δαμοκράτης Χαιρήμονος, | Σόλων Νικωνύμου, || Ἀρίστων Καλλισθένεος, | Δεινίας Δαμοσθένεος, | Δείνων Στράτιος, | Ἀρίστιππος Δαμοθέρσεος, | Ἀριστόμαχος Θεοφίλου, || Νεόδαμος Μνασιμαχίδα, | Νίκων Δάμωνος, | Ξένων Σωσινίκου, | Κάλλιππος Ἀριστονίκου, | Δαμοκράτης Δαμίωνος, || Ξένων Πασίωνος, | Εὐτυχίδας Νικαρέτου, | Ἀριστείδας Κρατιππίδα, | Σώστρατος Φιλοξένου.

Le Bas, Voy. arch. II n. 301 (= Explic. p. 149).

---

47 [= 13] Constantinis prope veterem Andaniam in ecclesia.

[Περὶ ἱε]ρῶν καὶ ἱερᾶν. Ὁ γραμματεὺς τῶν συνέδρων τοὺς γενηθέντας ἱεροὺς ὁρκιξάτω παραχρῆμα, ἄμ μή τις ἀρρωσ[τεῖ, | ἱερῶ]ν καιομένων αἷμα καὶ οἶνον σπένδοντας, τὸν ὅρκον τὸν ὑπογεγραμμένον· ὀμνύω τοὺς θεούς, οἷς τὰ μυστήρια ἐπιτε[λε]ῖται, ἐπιμέλειαν ἕξειν, ὅπως γίνηται τὰ κατὰ τὰν τελετὰν θεοπρεπῶς καὶ ἀπὸ παντὸς τοῦ δικαίου, καὶ μήτε αὐ|[τ]ὸς μηθὲν ἄσχημον μηδὲ ἄδικον ποιήσειν ἐπὶ καταλύσει τῶν μυστηρίων μηδὲ ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ κατακολου|θήσειν τοῖς γεγραμμένοις, ἐξορκίσειν δὲ καὶ τὰς ἱερὰς καὶ τὸν ἱερῆ κατὰ τὸ διάγραμμα· εὐορκοῦντι μέν μοι εἴη ἃ τοῖς εὐ|σεβέοις, ἐφιορκοῦντι δὲ τἀναντία. Ἂν δέ τις μὴ θέλει ὀμνύειν, ζαμιούτω δραχμαῖς χιλίαις καὶ ἄλλον ἀντὶ τούτου κλαρωσά|τω ἐκ τᾶς αὐτᾶς φυλᾶς. Τὰς δὲ ἱερὰς ὁρκιζέτω ὁ ἱερεὺς καὶ οἱ ἱεροὶ ἐν τῷ ἱερῷ τοῦ Καρνείου τᾷ πρότερον ἁμέρᾳ τῶν μυστη|ρίων τὸν αὐτὸν ὅρκον, καὶ ποτεξορκιζόντω· πεποίημαι δὲ καὶ ποτὶ τὸν ἄνδρα τὰν συμβίωσιν

ὁσίως καὶ δικαίως. Τὰν δὲ μ[ὴ] | θέλουσαν ὀμνύειν ζαμιούντω οἱ ἱεροὶ δραχμαῖς χιλίαις καὶ μὴ ἐπιτρεπόντω ἐπιτελεῖν τὰ κατὰ τὰς θυσίας μηδὲ μετ[έ]|χειν τῶν μυστηρίων, αἱ δὲ ὀμόσασαι ἐπιτελούντω. Οἱ δὲ γεγενημένοι ἱεροὶ καὶ ἱεραὶ ἐν τῷ πέμπτῳ καὶ πεντηκοστῷ | ἔτει ὀμοσάντω τὸν αὐτὸν ὅρκον ἐν τῷ ἐνδεκάτῳ μηνί, πρὸ τῶν μυστηρίων.

Παραδόσιος. Τὰν δὲ κάμπτραν καὶ τὰ | βιβλία, ἃ δέδωκε Μνασίστρατος, παραδιδόντω οἱ ἱεροὶ τοῖς ἐπικατασταθέντοις, παραδιδόντω δὲ καὶ τὰ λοιπά, ὅσα | ἂν κατασκευασθεῖ χάριν τῶν μυστηρίων.

Στεφάνων. Στεφάνους δὲ ἐχόντω οἱ μὲν ἱεροὶ καὶ αἱ ἱεραὶ πῖλον λευκόν, | τῶν δὲ τελουμένων οἱ πρωτομύσται στλεγγίδα· ὅταν δὲ οἱ ἱεροὶ παραγγείλωντι, τὰμ μὲν στλεγγίδα ἀποθέσθωσαν, | στεφανούσθωσαν δὲ πάντες δάφνᾳ. — Εἱματισμοῦ. Οἱ τελούμενοι τὰ μυστήρια ἀνυπόδετοι ἔστωσαν καὶ ἐχόντω τὸν | εἱματισμὸν λευκόν, αἱ δὲ γυναῖκες μὴ διαφανῆ μηδὲ τὰ σαμεῖα ἐν τοῖς εἱματίοις πλατύτερα ἡμιδακτυλίου, καὶ αἱ | μὲν ἰδιώτιες ἐχόντω χιτῶνα λίνεον καὶ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν, αἱ δὲ παῖδες καλάσηριν ἢ σιν|δονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια μνᾶς, αἱ δὲ δοῦλαι καλάσηριν ἢ σινδονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια δρα|χμᾶν πεντήκοντα, αἱ δὲ ἱεραί, αἱ μὲν γυναῖκες καλάσηριν ἢ ὑπόδυμα μὴ ἔχον σκιὰς καὶ εἱμάτιον μὴ πλέονος ἄξια δύο | μνᾶν, αἱ δὲ [παῖδε]ς καλάσηριν καὶ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν. Ἐν δὲ τᾷ πομπᾷ αἱ μὲν ἱεραὶ γυναῖκες ὑποδύ|ταν καὶ εἱμάτιον γυναικεῖον οὖλον, σαμεῖα ἔχον μὴ πλατύτερα ἡμιδακτυλίου, αἱ δὲ παῖδες καλάσηριν καὶ εἱμάτιον μὴ δια|φανές. Μὴ ἐχέτω δὲ μηδεμία χρυσία μηδὲ φῦκος μηδὲ ψιμίθιον μηδὲ ἀνάδεμα μηδὲ τὰς τρίχας ἀνπεπλεγμένας μήτε ὑπο|δήματα εἰ μὴ πίλινα ἢ δερμάτινα ἱερόθυτα. Δίφρους δὲ ἐχόντω αἱ ἱεραὶ εὐσυΐνους στρογγύλους καὶ ἐπ' [αὐ]τῶν ποτικεφάλαια | ἢ σπῖρα * λευκά, μὴ ἔχοντα μήτε σκιὰν μήτε πορφύραν. Ὅσα(ς) δὲ δεῖ διασκευάζεσθαι εἰς θεῶν διάθεσιν, ἐχόντω τὸν εἱματισμόν, | καθ' ὃ ἂν οἱ ἱεροὶ διατάξωντι· ἂν δέ τις ἄλλως ἔχει τὸν εἱματισμὸν παρὰ τὸ διάγραμμα ἢ ἄλλο τι τῶν κεκωλυμένων, μὴ ἐπιτρεπέ|τω ὁ γυναικονόμος καὶ ἐξουσίαν ἐχέτω λυμαίνεσθαι, καὶ ἔστω ἱερὰ τῶν θεῶν.

Ὅρκος γυναικονόμου. Οἱ δὲ ἱεροί, ὅταν καὶ αὐτοὶ ὀμό|-

σωντι, ὁρκιζόντω τὸν γυναικονόμον ἐπὶ τῶν αὐτῶν ἱερῶν· εἶ μὰν ἕξειν ἐπιμέλειαν περί τε τοῦ εἱματισμοῦ καὶ τῶν λοιπῶν τῶν | ἐπιτεταγμένων μοι ἐν τῷ διαγράμματι.

Πομπᾶς. Ἐν δὲ τᾷ πομπᾷ ἀγείστω Μνασίστρατος, ἔπειτεν (sic) ὁ ἱερεὺς τῶν θεῶν, οἷς | τὰ μυστήρια γίνεται, μετὰ τᾶς ἱερέας, ἔπειτα ἀγωνοθέτας, ἱεροθύται, οἱ αὐληταί, μετὰ δὲ ταῦτα αἱ παρθένοι αἱ ἱεραί, καθὼς ἂν λά|χωντι, ἄγουσαι τὰ ἅρματα, ἐπικειμένας κίστας ἐχούσας ἱερὰ μυστικά· εἶτεν ἁ θοιναρμόστρια ἁ εἰς Δάματρος καὶ αἱ ὑποθοιναρ|μόστριαι αἱ ἐμβεβακυῖαι, εἶτεν ἁ ἱέρεα τᾶς Δάματρος τᾶς ἐφ' ἱπποδρόμῳ, εἶτεν ἁ τᾶς ἐν Αἰγίλα, ἔπειτεν αἱ ἱεραὶ κατὰ μίαν, κα|θὼς κα λάχωντι, ἔπειτεν οἱ ἱεροί, καθὼς κα οἱ δέκα διατάξωντι. Ὁ δὲ γυναικονόμος κλαρούτω τάς τε ἱερὰς καὶ παρθένους καὶ ἐπιμέλειαν | ἐχέτω, ὅπως πομπεύωντι καθὼς κα λάχωντι. Ἀγέσθω δὲ ἐν τᾷ πομπᾷ καὶ τὰ θύματα, καὶ θυσάντω τᾷ μὲν Δάματρι σῦν ἐπίτοκα, Ἑρμᾶ|νι κριόν, μεγάλοις θεοῖς δάμαλιν σῦν, Ἀπόλλωνι Καρνείῳ κάπρον, Ἁγνᾷ ὄϊν. — Σκανᾶν. Σκανὰν δὲ μὴ ἐπιτρεπόντω οἱ ἱεροὶ μηθένα ἔχειν ἐν | τετραγώνῳ μείζω ποδῶν τριάκοντα, μηδὲ περιτιθέμεν ταῖς σκαναῖς μήτε δέρρεις μήτε αὐλείας, μηδέ, ἐν ᾧ ἂν τόπῳ περιστεμ|ματώσωντι οἱ ἱεροί, μηθένα τῶν μὴ ὄντων ἱερῶν ἔχειν σκανάν, μηδὲ παρερπέτω μηθεὶς ἀμύητος εἰς τὸν τόπον, ὅν κα περιστεμμα|τώσωντι· χωραξάντω δὲ καὶ ὑδράνας. Ἀναγραψάντω δὲ καὶ ἀφ' ὧν δεῖ καθαρίζειν καὶ ἃ μὴ δεῖ ἔχοντας εἰςπορεύεσθαι [κ]α[ὶ μ]ὴ δεῖ ἔχειν | ἐν ταῖς σκαναῖς· μηθεὶς κλίνας ἐχέτω ἐν τᾷ σκανᾷ μηδὲ ἀργυρώματα πλείονος ἄξια δραχμᾶν τριακοσιᾶν· εἰ δὲ μή, μὴ ἐπιτρεπόν|τω οἱ ἱεροί, καὶ τὰ πλειονάζοντα ἱερὰ ἔστω τῶν θεῶν.

Ἀκοσμούντων. Ὅταν δὲ αἱ θυσίαι καὶ τὰ μυστήρια συντελεῖται, εὐφαμεῖν πάν|τας καὶ ἀκούειν τῶν παραγγελλομένων, τὸν δὲ ἀπειθοῦντα ἢ ἀπρεπῶς ἀναστρεφόμενον εἰς τὸ θεῖον μαστιγούντω οἱ ἱεροὶ | καὶ ἀποκωλυόντω τῶν μυστηρίων. — Ῥαβδοφόρων. Ῥαβδοφόροι δὲ ἔστωσαν ἐκ τῶν ἱερῶν εἴκοσι καὶ πειθαρχούντω τοῖς ἐπιτελοῦν|τοις τὰ μυστήρια καὶ ἐπιμέλειαν ἐχόντω, ὅπως εὐσχημόνως καὶ εὐτάκτως ὑπὸ τῶν παραγεγενημένων πάντα γίνηται, καθὼς ἂν | παραγγέλλωντι οἱ ἐπὶ τούτων τεταγμένοι, τοὺς δὲ ἀπειθοῦντας ἢ ἀπρεπῶς ἀναστρεφομένους μαστιγούντω. Ἂν δέ τις τῶν ῥα|βδοφόρων μὴ ποιεῖ καθὼς γέγραπται ἢ ἄλλο τι ἀδικεῖ ἢ ποιεῖ ἐπὶ

καταλύσει τῶν μυστηρίων, κριθεὶς ἐπὶ τῶν ἱερῶν, ἂν κατα-
45 κριθεῖ, μὴ | μετεχέτω τῶν μυστηρίων.

Περὶ τῶν διαφόρων. Τὰ δὲ πίπτοντα διάφορα ἐκ τῶν
μυστηρίων ἐγλεγόντω οἱ κατασταθέντες ὑπὸ | τοῦ δάμου πέντε.
Εἰςφερόντω δὲ οἱ ἄρχοντες ἀνάνκᾳ πάντες, μὴ δὶς τοὺς
αὐτούς, τίμαμα ἔχοντα ἕκαστον μὴ ἔλασσον ταλάν|του, καὶ
τῶν κατασταθέντων παραγραφάτω ἁ γερουσία τὸ τίμαμα,
ὡσαύτως δὲ καὶ τὸ τῶν εἰςενεγκάντων· τοῖς δὲ ἐγλογευόντοις |
τὰ διάφορα λειτουργείτω ὁ ἀργυροσκόπος. Ὅταν δὲ ἐπιτε-
λεσθεῖ τὰ μυστήρια, ἀπολογισάσθωσαν ἐμ πάντοις ἐν τᾷ
πρώτᾳ συν|νόμῳ συναγωγᾷ τῶν συνέδρων· καὶ γραφὰν ἀπο-
δόντω τῷ ἐπιμελητᾷ παραχρῆμα, γράφοντες ἐπ' ὀνόματος
50 τὰ πεπτωκότα δι[ά]|φορα ἀπὸ τοῦ καθαρμοῦ καὶ ἀπὸ τῶν
πρωτομυστᾶν τὸ ὑποστατικόν, καὶ ἄν τι ἄλλο πέσει, καὶ τὰν
γεγενημέναν ἔξοδον, καὶ (ὅ)τι ἂν εἶ | λοιπόν, καὶ ἀριθμησάντω
παραχρῆμα τῷ ταμίᾳ, καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι εὑρί-
σκωνται ἀδικοῦντες, διπλασίου καὶ ἐπιτιμίου | [δραχ]μᾶν
χ[ι]λιᾶν, καὶ οἱ δικαστ[αὶ μ]ὴ ἀφαιρούντω μηθέν. Οἱ δ(ὲ) ἐν
τῷ πέμπτῳ καὶ πεντηκοστῷ ἔτει κατεσταμένοι ἐξοδιασάντω
53=55 καὶ Μνα|[σισ]τράτῳ τὸ διδόμενο[ν αὐτῷ] διάφορον εἰς τὸν
στέφανον ὑπὸ τᾶς [πό]λεος, δραχμὰς ἑξακισχιλίας. Ἀποδόντω
54=56 δὲ τῷ ταμίᾳ καὶ ὅσα κα εἶ | [πρ]οεξωδιασμένα διάφορα [ὑπ]ὸ
τοῦ ταμίου ἐ[ν τούτῳ τῷ] ἔτε[ι εἰς τ]ὰ κ[α]τασκευαζόμ[ενα] ἐν
[τῷ]ι Καρνει|ασίῳ ἢ δαπανούμενα χάριν τῶν μυστηρίων. Τὸ
δὲ [λοιπὸν ἐκ τῶν διαφόρων τούτου τοῦ ἔτους] ἐξοδιαζόντ[ω
οἱ πέντε εἰς τὰ] ἐπισκε[υα]|ζόμενα ἐν τῷ Καρνειασίῳ· καὶ ἄν
τινος ἔτι χρεία εἶ, [ποτὶ ταύτας τὰς] ποθόδους φερόντω γρά-
φοντες ῥη[τῶς, εἰς] ὃ ἂν χρεία εἶ, καὶ οἱ ἄρχον|τες καὶ οἱ
σύνεδροι δογματοποιείσθωσαν, ὅτι δεῖ τὸν ταμίαν [ἐγδόμ]εν
τὰ διάφορα· ἀπὸ δὲ τῶν πιπτόντων ἐκ τῶν μυστηρίων ἀπο-
60 καθι|στάσθω τῷ ταμίᾳ τὰ διάφορα. Καὶ ἀποδόντω γραφὰν
τῷ ἐπιμελητᾷ, περὶ ὧν κα διοικήσωντι, καὶ ἔστωσαν ὑπό-
μαστροι, ἄν τι ἀδικήσωντι, κα|θὼς ἐπάνω γέγραπται. Ὁ δὲ
ταμίας, ὅσον κα παραλάβει διάφορον λοιπὸν ἐκ τούτων, γρα-
φέτω ἐν ὑπεχθέματι εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῷ | Καρνεια-
σίῳ καὶ μὴ ἀναχρησάσθω εἰς ἄλλο μηθέν, μέχρι ἂν ἐπιτε-
λεσθεῖ, ὅσων χρεία ἐστὶ ποτὶ τὰν τῶν μυστηρίων συντέλειαν,
μηδὲ γρα|φάτω μηθεὶς δόγμα, ὅτι δεῖ ταῦτα τὰ διάφορα εἰς
ἄλλο τι καταχρήσασθαι· εἰ δὲ μή, τό τε γραφὲν ἀτελὲς

ἔστω καὶ ὁ γράψας ἀποτεισάτω δρα|χμὰς δισχιλίας, ὁμοίως δὲ καὶ ὁ ταμίας, ὅτι κα ἐξοδιάσει, διπλοῦν καὶ δραχμὰς δισχιλίας, καὶ οἱ δικασταὶ μὴ ἀφαιρούντω μηθέν, καὶ τὰ πίπτοντα | ἐκ ταυτᾶν τᾶν κρισίων διάφορα ὑπαρχέτω εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῷ Καρνειασίῳ. Ὅταν δὲ ἐπι*τελεσθεῖ ὅσων χρεία ἐστὶ ποτὶ τὸ συν|τελεῖν τὰ μυστήρια, ὑπαρχέτω τὰ πίπτοντα διάφορα τῶν μυστηρίων εἰς τὰς τᾶς πόλεος ἐσόδους.

Θυμάτων παροχᾶς. Οἱ ἱεροὶ μετὰ τὸ κα|τασταθῆμεν προκαρύξαντες ἐγδόντω τὰν παροχὰν τῶν θυμάτων, ὧν δεῖ θύεσθαι καὶ παρίστασθαι ἐν τοῖς μυστηρίοις, καὶ τὰ εἰς τοὺς | καθαρμούς, ἐγδιδόντες, ἄν τε δοκεῖ συνφέρον εἶμεν, ε[ἰς] τὸ αὐτὸ πάντα τὰ θύματα, ἄν τε κατὰ μέρος, τῷ τὸ ἐλάχιστον ὑφισταμένῳ | λάμψεσθαι διάφορον. Ἔστι δὲ ἃ δεῖ παρέχειν πρὸ τοῦ ἄρχεσθαι τῶν μυστηρίων, ἄρνας δύο λευκούς, ἐπὶ τοῦ καθαρμοῦ κριὸν εὔχρουν, καὶ ὅταν | ἐν τῷ θεάτρῳ καθαίρει, χοιρίσκους τρεῖς, ὑπὲρ τοὺς πρωτομύστας ἄρνας ἑκατόν, ἐν δὲ τᾷ πομπᾷ Δάματρι σῦν ἐπίτοκα, τοῖς δὲ μεγάλοις | θεοῖς δάμαλιν διετῆ σῦν, Ἑρμᾶνι κριόν, Ἀπόλλωνι Καρνείῳ κάπρον, Ἁγνᾷ ὄϊν. Ὁ δὲ ἐγδεξάμενος κατεγγυεύσας ποτὶ τοὺς ἱεροὺς λα|βέτω τὰ διάφορα καὶ παριστάτω τὰ θύματα εὐίερα, καθαρά, ὁλόκλαρα καὶ ἐπιδειξάτω τοῖς ἱεροῖς πρὸ ἁμερᾶν δέκα τῶν μυστηρίων, τοῖς | δὲ δοκιμασθέντοις σαμεῖον ἐπιβαλόντω οἱ ἱεροὶ καὶ τὰ σαμειωθέντα παριστάτω ὁ ἐγδεξάμενος. Ἂν δὲ μὴ παριστᾷ ἐπὶ τὰν δοκιμασί|αν, πρασσόντω οἱ ἱεροὶ τοὺς ἐγγύους αὐτὸ καὶ τὸ ἥμισυ, τὰ δὲ θύματα αὐτοὶ παρεχόντω, καὶ ἀπὸ τῶν πραχθέντων διαφόρων κομισάσθωσαν | τὰν γενομέναν δαπάναν εἰς τὰ θύματα. — Τεχνιτᾶν εἰς τὰς χοριτείας. Οἱ ἱεροὶ προγραφόντω κατ' ἐνιαυτὸν τοὺς λειτουργήσοντας ἔν | τε ταῖς θυσίαις καὶ μυστηρίοις αὐλητὰς καὶ κιθαριστάς, ὅσους κα εὑρίσκωντι εὐθέτους ὑπάρχοντας, καὶ οἱ προγραφέντες λειτουργούντω | τοῖς θεοῖς.

Ἀδικημάτων. Ἂν δέ τις ἐν ταῖς ἁμέραις, ἐν αἷς αἵ τε θυσίαι καὶ τὰ μυστήρια γίνονται, ἁλῷ εἴτε κεκλεβὼς εἴτε ἄλλο τι ἀδίκη|μα πεποιηκώς, ἀγέσθω ἐπὶ τοὺς ἱερούς, καὶ ὁ μὲν ἐλεύθερος, ἂν κατακριθεῖ, ἀποτινέτω διπλοῦν, ὁ δὲ δοῦλος μαστιγούσθω καὶ ἀποτεισάτω δι|πλοῦν τὸ κλέμμα· τῶν δὲ ἄλλων ἀδικημάτων ἐπιτίμιον δραχμὰς εἴκοσι· ἂν δὲ μὴ

ἐκτίνει παραχρῆμα, παραδότω ὁ κύριος τὸν οἰκέταν τῷ ἀ|δικηθέντι εἰς ἀπεργασίαν, εἰ δὲ μή, ὑπόδικος ἔστω ποτὶ διπλοῦν. — Περὶ τῶν κοπτόντων ἐν τῷ ἱερῷ. Μηθεὶς κοπτέτω ἐκ τοῦ ἱεροῦ τόπου· | ἂν δέ τις ἁλῷ, ὁ μὲν δοῦλος μαστιγούσθω ὑπὸ τῶν ἱερῶν, ὁ δὲ ἐλεύθερος ἀποτεισάτω, ὅσον κα οἱ ἱεροὶ ἐπικρίνωντι· ὁ δὲ ἐπιτυχὼν ἀγέτω | αὐτοὺς ἐπὶ τοὺς ἱεροὺς καὶ λαμβανέτω τὸ ἥμισυ.

Φύγιμον εἶμεν τοῖς δούλοις. Τοῖς δούλοις φύγιμον ἔστω τὸ ἱερόν, καθὼς ἂν οἱ ἱεροὶ | ἀποδείξωντι τὸν τόπον, καὶ μηθεὶς ὑποδεχέσθω τοὺς δραπέτας μηδὲ σιτοδοτείτω μηδὲ ἔργα παρεχέτω· ὁ δὲ ποιῶν παρὰ τὰ γεγραμ|μένα ὑπόδικος ἔστω τῷ κυρίῳ τᾶς τοῦ σώματος ἀξίας διπλασίας καὶ ἐπιτιμίου δραχμᾶν πεντακοσιᾶν. Ὁ δὲ ἱερεὺς ἐπικρινέ|τω περὶ τῶν δραπετικῶν, ὅσοι κα ἦνται ἐκ τᾶς ἁμετέρας πόλεος, καὶ ὅσους κα κατακρίνει, παραδότω τοῖς κυρίοις· ἂν δὲ μὴ παραδιδῷ, ἐξ[έσ]|τω τῷ κυρίῳ ἀποτρέχειν ἔχοντι.

Περὶ τᾶς κράνας. Τᾶς δὲ κράνας τᾶς ὠνο*μασμένας διὰ τῶν ἀρχαίων ἐγγράφων Ἁγνᾶς καὶ τοῦ γε[γε]|νημένου ποτὶ τᾷ κράνᾳ ἀγάλματος τὰν ἐπιμέλειαν ἐχέτω Μνασίστρατος, ἕως ἂν ζεῖ, καὶ μετεχέτω μετὰ τῶν ἱερῶν τᾶν τε θυσι|ᾶν καὶ τῶν μυστηρίων, καὶ ὅσα κα οἱ θύοντες ποτὶ τᾷ κράνᾳ τραπεζῶντι καὶ τῶν θυμάτων τὰ δέρματα λαμβανέτω Μνασίστρατος· | τῶν τε διαφόρων, ὅσα κα οἱ θύοντες ποτὶ τᾷ κράνᾳ προτιθῆντι ἢ εἰς τὸν θησαυρόν, ὅταν κατασκευασθεῖ, ἐμβάλωντι, λαμβανέτω Μνα|σίστρατος τὸ τρίτον μέρος, τὰ δὲ δύο μέρη, καὶ ἄν τι ἀνάθεμα ὑπὸ τῶν θυσιαζόντων ἀνατιθῆται, ἱερὰ ἔστω τῶν θεῶν. Ὁ δὲ ἱερεὺς καὶ οἱ ἱε|ροὶ ἐπιμέλειαν ἐχόντω, ὅπως ἀπὸ τῶν διαφόρων ἀναθέματα κατασκευάζηται τοῖς θεοῖς, ἃ ἂν τοῖς συνέδροις δόξει. — Θησαυρῶν κατασκευ|[ᾶ]ς. Οἱ ἱεροὶ κατεσταμένοι ἐν τῷ πέμπτῳ καὶ πεντηκοστῷ ἔτει ἐπιμέλειαν ἐχόντω μετὰ τοῦ ἀρχιτέκτονος, ὅπως κατασκευασ|[θ]ῆντι θησαυροὶ λίθινοι δύο κλᾳκτοί, καὶ χωραξάντω τὸν μὲν ἕνα εἰς τὸν ναὸν τῶν μεγάλων θεῶν, τὸν δ(ὲ) ἄλλον ποτὶ τᾷ κράνᾳ, ἐν ᾧ ἂν τόπ|ῳ δοκεῖ αὐτοῖς ἀσφαλῶς ἕξειν, καὶ ἐπιθέντω κλᾷκας· καὶ τοῦ μὲν παρὰ τᾷ κράνᾳ ἐχέτω τὰν ἁτέραν κλᾷκα Μνασίστρατος, τὰν δὲ ἁ[τέ|ρ]αν οἱ ἱεροί, τοῦ δὲ ἐν τῷ ναῷ ἐχόντω τὰν κλᾷκα οἱ ἱεροί, καὶ ἀνοιγόντω κατ' ἐνιαυτὸν τοῖς μυστηρίοις, καὶ τὸ ἐξαριθμηθὲν διάφορον ἐ[ξ] | ἑκατέρου τοῦ θησαυροῦ

χωρὶς γράψαντες ἀνενεγκάντω, ἀποδόντω δὲ καὶ Μνασιστράτῳ τὸ γινόμενον αὐ[τῷ] διάφορον, καθὼς ἐν [τῷ] | διαγράμματι γέγραπται.

Ἱεροῦ δείπνου. Οἱ ἱεροὶ ἀπὸ τῶν θυμάτων τῶν ἀγομένων ἐν τᾷ πομπᾷ ἀφελόντες ἀφ' ἑκάστου τὰ νόμ[ιμα] | τοῖς θεοῖς [τὰ λοι]πὰ κρέα καταχρησάσθωσαν εἰς τὸ ἱερὸν δεῖπνον μετὰ τᾶν ἱερᾶν καὶ παρθένων, καὶ παραλαβόντω τόν τε ἱερῆ | [καὶ τὰν] ἱέρεαν κ[αὶ τὰ]ν ἱέρεαν τοῦ Καρνείου καὶ Μνασίστρατον καὶ τὰν γυναῖκά τε καὶ τὰς γενεὰς αὐτοῦ καὶ τῶν τεχνιτᾶν τοὺς λει[[τουργή]σαντας [ἐν ταῖ]ς χορείαις καὶ τᾶν ὑπηρεσιᾶν τοὺς λειτουργοῦντας αὐτοῖς, καὶ εἰς τὰ λοιπὰ δαπανάματα μὴ πλεῖον ἀνάλωμα | [π]οιοῦ[ν]τες δραχμᾶν —.

Ἀγορᾶς. Οἱ ἱεροὶ τόπον ἀποδειξάντω, ἐν ᾧ πραθήσεται πάντα. Ὁ δὲ ἀγορανόμος ὁ ἐπὶ πόλεος ἐπι|*μέλειαν ἐχέτω, ὅπως οἱ πωλοῦντες ἄδολα καὶ καθαρὰ πωλοῦντι καὶ χρῶνται σταθμοῖς καὶ μέτροις συμφώνοις ποτὶ τὰ δαμόσια, καὶ | [μ]ὴ τασσέτω [μ]η[δὲ] πόσου δεῖ πωλεῖν, μηδὲ καιρὸν τασσέτω, μηδὲ πρασσέτω μηθεὶς τοὺς πωλοῦντας τοῦ τόπου μηθέν, τοὺς δὲ μὴ πω|λοῦντας, καθὼς γέγραπται, τοὺς μὲν δούλους μαστιγούτω, τοὺς δὲ ἐλευθέρους ζαμιούτω εἴκοσι δραχμαῖς, καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱε[[ρῶν]. — Ὕδατος. Ἐχέτω δὲ ἐπιμέλειαν ὁ ἀγορανόμος καὶ περὶ τοῦ ὕδατος, ὅπως κατὰ τὸν τᾶς παναγύριος χρόνον μηθεὶς κακοποιεῖ μήτε | [τὸ] ἦλημα μήτε τοὺς ὀχετοὺς μήτε ἄν τι ἄλλο κατασκευασθεῖ ἐν τῷ ἱερῷ χάριν τοῦ ὕδατος, καὶ ὅπως, καθὼς ἂν μερισθεῖ, ῥεῖ τὸ ὕδωρ, καὶ μ[η]θεὶς ἀ]ποκωλύει τοὺς χρωμένους. Ἂν δέ τινα λαμβάνει ποιοῦντά τι τῶν κεκωλυμένων, τὸν μὲν δοῦλον μαστιγούτω, τὸν δὲ ἐλεύθερ[ον | ζαμιούτω] εἴκοσι δραχμαῖς, καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν. — Ἀλείμματος καὶ λουτροῦ. Ὁ ἀγορανόμος ἐπιμέλειαν ἐχέτω, ὅπως οἱ θέλοντες | [βαλανεύε]ιν ἐν τῷ ἱερῷ μὴ πλεῖον πράσσωντι τοὺς λουομένους δύο χαλκῶν καὶ παρέχωντι πῦρ καὶ μάκραν εὔκρατον καὶ τοῖς καταχλυ[[ζομένοις ὕ]δωρ εὔκρατον, καὶ ὅπως ὁ ἐγδεξάμενος τῶν ξύλων τὰν παροχὰν εἰς τὸ ἀλειπτήριον παρέχει ξύλα ξηρὰ καὶ ἱκανὰ τοῖς ἀλει[[φομένοις] κατ' ἁμέραν ἀπὸ τετάρτας ὥρας ἕως ἑβδόμας· δοῦλος δὲ μηθεὶς ἀλειφέσθω. Οἱ δὲ ἱεροὶ ἐγδιδό*ντω τὰν παροχὰν τῶν ξύλ[ω]ν | [εἰς τὸ] ἀλειπτήριον. Ἂν δέ τις τῶν ἐγδεξαμένων ἢ τῶν βαλανέων μὴ ποιεῖ καθὼς γέγραπται, τὸν μὲν δοῦλον

μαστιγούτω ὁ ἀγορ[α]νό[μος, τ]ὸν δὲ ἐλεύθερον ζαμιούτω καθ' ἕκαστον ἀδίκημα εἴκοσι δραχμαῖς, καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν.

Συνέσιος ἀναφορᾶς. Οἱ ἱε[ροὶ ὅσ]α κα διοικήσωντι ἐν τᾷ παναγύρει ἢ κατακρίνωντί τινας, σύνεσιν ἀπενεγκάντω εἰς τὸ πρυτανεῖον· ἀναγραψάντω δὲ καὶ | [εἰς τ]ὸν οἶκον τὸν ἐν τῷ ἱερῷ, οὓς ἂν κατακρίνωντι καὶ ἐπὶ ποίῳ ἀδικήματι. — Ἀντίγραφον ἔχειν τοῦ διαγράμματος. Οἱ κατεσταμέ[νοι ὥ]στε γράψαι τὸ διάγραμμα, καθὼς ἂν δοκιμασθεῖ, δόντω τοῖς νομοδείκταις ἀντίγραφον· οἱ δὲ λαβόντες ἐπιδεικνυόντω τῷ | [χρεί]αν ἔχοντι. Καὶ ἐν τοῖς μυστηρίοις συνλειτουργούντω τοῖς ἱεροῖς καὶ ὁ κᾶρυξ καὶ αὐλητὰς καὶ μάντις καὶ ἀρχιτέκτων. |

[Τᾶς κατα]στάσιος τῶν δέκα. Οἱ δαμιοργοὶ τοῦ ἕκτου μηνὸς τᾷ δωδεκάτᾳ, πρὸ τοῦ τὸν καιρὸν τῶν ἱερῶν | [κ]αὶ τὰν ἱερᾶν γί[νεσθαι, ἀποδόντ[ω] | τῷ δάμῳ χειροτο|νίαν, ὅπως καταστά|σει ἐκ πάντων τῶν | πολιτᾶν δέκα μὴ || νεωτέρους ἐτῶν | [τ]εσσαράκοντα μη[[δ]ὲ δὶς τοὺς αὐτοὺς τ[ὸν ? ἔ]νγιον ἐνιαυτόν. Π[οτ]εισφερόντω δὲ οἵ τε || ἄρχοντες καὶ τῶν | ἄλλων ὁ θέλων, εἰσ|φέροντες ἐξ ὧν γέ|γραπται τοὺς ἱεροὺς | κλαροῦσθαι· τοὺς δὲ || κατασταθέντας ὁ[ρ]κιξάτω ὁ γραμματεὺς | τῶν συνέδρων τὸν | ὅρκον, ὃν οἱ ἱεροὶ ὀμν[ύ]οντι. Ἐχόντω δὲ οἱ κα|τασταθέντες ἐπι|μέλειαν περὶ πάν|των, ὧν δεῖ ἐν τοῖς μυσ|τηρίοις συντελεῖσ|θαι, καὶ φροντιζόντω, || ὅσων χρεία ἐστὶ εἰς | τὸ ἐπιτελεῖσθαι τὰ | μυστήρια. Προγρα|φόντω δὲ ἐκ τῶν ἱε|ρῶν καὶ ῥαβδοφόρους || τοὺς εὐθετωτάτους, | ὁμοίως δὲ καὶ μυστα|γωγούς· τοὺς δὲ συν|λειτουργήσοντας | μετὰ Μνασιστρά|[τ]ου προγραφόντω, ἂν | [τ]ινας εὑρίσκωντι εὐ|θέτους ὑπάρχοντας | καὶ τῶν μὴ ὄντων ἱε|ρῶν. Καὶ οἱ προγραφέν|τες πειθαρχούντω | καὶ ἐπιτελούντω, ὃ ἂν | προγραφῆντι· τὸν δὲ | μὴ ποιοῦντα κατακρι|νάντω εἴκοσι δρα[[χ]μαῖς καὶ ἐγγραψάν|τω εἰς τοὺς πολεμάρ|χους· οἱ δὲ ῥαβδοφόροι | μαστιγούντω, οὓς κα | οἱ δέκα κελεύωντι. || Οἱ δὲ κατασταθέν|τες δέκα κρινόντω | [τ]ὰ κ[ρίμα]τα [πάντα. | Ἂν δὲ χρεία εἶ πε]|ρί τινος διαβούλιον [γί]νεσθαι, συναγόντω | οἱ δέκα πάντας τοὺς ἱ|εροὺς καὶ καθὼς τοῖς | πλειόνοις δόξαι, ἐπιτε|λείσθω. Φορούντω δὲ οἱ || δέκα ἐν τοῖς μυστηρί|οις στρόφιον πορφύριον. |

Ἀγράφων. Εἰ δέ τινα | ἄγραφά ἐστι ἐν τῷ δι|αγράμματι ποτὶ τὰν || τῶν μυστηρίων καὶ | τὰν θυσιᾶν συντέλει|αν,

βουλευέσθωσαν οἱ | σύνεδροι, μὴ μεταχι|νοῦντες ἐπὶ καταλ[ύ]||σει τῶν μυστηρίων μ[η]||θὲν τῶν κατὰ τὸ διά|γραμμα· εἰ δὲ μή, τὸ | γραφὲν ἀτελὲς ἔστω, | τὸ δὲ διάγραμμα κύρι||ον ἔστω εἰς πάντα τὸν | χρόνον.

Sauppe, Die Mysterieninschrift von Andania, Ber. Ges. Wiss. Göttg. 1859 p. 217 sqq. Foucart apud Le Bas Voy. arch. II n. 326 *a* (Explic. p. 161 sqq.). — Titulus inscriptus est duarum tabularum partibus adversis et dexteris lateribus; in commissura prioris et posterioris tabularum duo versus (53 sq. = 55 sq.) per errorem lapicidae iterati sunt. — Est constitutio sacrorum Cereris, Hagnae, Mercurii, Apollinis Carnei, magnorum deorum (Samothraciorum), quae Andaniae celebrabantur. Eam factam esse a. 93 a. Chr. putat Sauppe, a. 91 Foucart; ambigitur enim, quo referendus sit numerus anni 55, qui commemoratur vv. 10. 52. 92. Dialectus nonnulla vestigia dominationis Aetolorum servavit, e. g. εὐσεβέοις 5, ἐπιτελούντοις 41. Cf. de Wilamowitz, Zeitschr. f. Gymn.-Wesen 1871 p. 651.

24 **N** litera deleta. — 25 **ΑΛΛΟΣ**. — 37 ὑδράνας: cf. Hesychius: ὑδράνη· τὸ ἀκραιφνὲς καὶ καθαρόν. — 44 **ΑΔΙΚΟΙΗΠΟΙΟΙ**. — 50 **ΤΗΝ**. — 65 **Σ** litera deleta. — 86 **I** litera deleta. — 102 **ΠΙ** literae deletae. — 106 ἤλημα: novum vocabulum, quod Foucart vertit »réservoir«. — 111 **I** litera deleta. — 176 **ΠΑΝΤΕΣ**, inde οἱ δέκα πάντες scripsit Foucart.

III. Tituli Argolici et Aeginetici.

Argivos non eadem literatura usos esse atque civitates proxime finitimas demonstravit Kirchhoff Alph.³ 83. 150. Aeginenses quidem nulla re nisi forma λ literae ab Argivorum consuetudine scribendi differebant. Hermionenses autem prorsus alia literatura usi sunt, nempe eadem qua Lacedaemonii; neque aliter fuisse in reliquis civitatibus maritimis in Argolica sitis putat Kirchhoff l. l. 152. Itaque cogitari potest etiam dialectum Argivorum aliam fuisse atque civitatium finitimarum. Quodsi in titulo Hermionensi literatura Ionica scripto n. 60 genetivus II. decl. in -ω exit, haec causa non est cur putemus apud

Argivos in titulis vetustioribus **O** et **E** literas, ubicunque longas vocales significent, per ω et η transcribendas esse. Immo per se probabile videtur in dialecto Argiva easdem vocales fuisse atque in Corinthia. At obstat titulus Argivus n. 58, qui non multo post receptam literaturam Ionicam scriptus esse videtur. In quo quamquam -ου et -ους sunt terminationes declinationis secundae, tamen bis legitur βωλᾶς. Inde videtur colligi posse antiquitus Argivos ω et η pro ου et ει adulterinis pronuntiavisse. Hanc ob rem in titulis Argivis literatura vetustiore scriptis etiam accentus eos posui, qui severiori quae dicitur Doridi convenire videbantur. Quod in titulis Aegineticis eadem ratione usus sum, non sine dubitatione feci.

1. Tituli Argivorum civitatis.

48 Argis in fundamentis turris antiquae.

[Α]ἰε(ί)μν[αστος δαμ]ιορ[γ]ό[ς], | . . . . ο γραμμα[τεύς]· |
Πόταμος | καὶ Σθενέλας ὁ Μνασι. . . . || καὶ (῾)Ιπ(π)ομέδον |
καὶ Χάρον ὁ Ἀρχεσίλα | καὶ Ἄδραστος | καὶ Βορθαγόρας |
καὶ Κλε(ῖ)τος ὁ Μίντονος || καὶ Ἀριστόμαχος | καὶ Νομ(ί)δας.

CIG. 2. IGA. 30. — 1 [δαμ]ιορ[γ]ό[ς]: cf. quae dixi ad n. 274. — 2 **ΤΡΑΜΜΑ**. — 8 Βορθαγόρας: duo alia exempla digammatis antiquo tempore in β mutati affert Roehl. — 9 **ΚΙΕΤΟΜ**.

---

49 [= 14] Galea aenea eleganter fabricata a. 1795 prope Olympiam in Alpheo reperta.

Τἀργ[εῖ]οι ἀνέθεν τῷ Διϝὶ τῶν ϙορινθόθεν.

CIG. 29. IGA. 32.

---

50 Argis in ecclesia S. Demetrii.

[Τόδε τύπο δίον ϝανά]ϙον ἀνέθεχ' ἑ[λ|άο]ντε
Αἴσχυλλο[ς] | Θίοπος, τοῖς δαμ|οσίοις ἐν ἀέθλο||ις
τετράκι τε [σ]|πάδιον νίκε κα[ὶ] | τρὶς τὸν ὁπλίτα[ν].

Kaibel Epigr. Gr. 936. Roehl IGA. 37. — Primi versus supplementa admodum incerta sunt.

3 σπάδιον: cf. Ahrens Dial. II 109.

---

51 Lapis calcarius mutilus Argis repertus.

...[γ]ροφο...|.. νιστε ...|... οἷαν τον ...|
... ανς τὰνς τ ... ‖ .. [δαμο]ῑ́ᾳ ὀφλέ[ει ...|
..ἀγ]ορευοντο...|...[τ]ον ἄλλον...|...το τõ
ἐμ[ίσεος]..|......εντ...

Kirchhoff Alph.[3] 84. Roehl IGA. 38.

1 secunda litera incerta est; Roehl ex apographo Luedersii dedit Α⊖. — 4 τάνς: In titulo Argivo paulo post Alexandri Magni mortem scripto, qui nihil continet nisi rationes pecuniae a multis civitatibus collatae, saepius legitur Αἰγιναίανς, Ἀλεξανδρείανς (sc. δραχμάνς); ediderunt hunc titulum Foucart apud Le Bas Voy. arch. II n. 115 *a* (Explic. p. 49 sq.) et Dittenberger, Herm. VII (1873) p. 62 sqq. — 5 [δαμο]ῑ́ᾳ: exempla σ inter vocales in spiritum asperum mutati hoc loco collegit Roehl.

---

52 Ex schedis Fourmonti, inter inscriptiones Argivas.

ἐπρίαντο — ϝιχα[τ].... | — — | — Κύλαός — | — Ἀλκιτοῖδας — ‖ — — Πολυκρ[άτες?] . . . . | Ὀφελλοκλείδας, Κλε... | Δαμοιτάδαι — Ἀριστ...

CIG. 18. IGA. 39. — Nominibus intermixti sunt numeri pecuniae solutae.

5 ΙΛFΥΚΡ.

---

53 Ex schedis Fourmonti, inter inscriptiones Argivas.

.................Ἀρ[ίσ]τι[ππος
....νύμαχος Λυσίμαχος Λυκόφρον
....Ἐπιγένες Ὀχίμον..........
..ππ[ος Καλ]λίμαχος Κλεόστρατος Ἀντιμοίρα[ς
...κρά]τες· πεδαϝοίκοι......Ἄνθινο[ς
...σεος Πανθάλες Σοκλείδας Λεύκιπ[πος
...ες Ὀφελίον Καλλίστρατος Ἁγείκρ[άτες
......Κανθίας Κλέον............
...κρ]άτες [Ἀγ]όραιο[ος Ἐ]πικτέας
......Ἄ]γυλλ[ος.

CIG. 19. IGA. 40.

6 ΘΧΙΓΘΝ. — 7 ΚΛ⊦ΘΣΤΡΑΤΘΣΛΥΤΙΜΘΙRΑ. — 8 ΠΕΡΑϜΘΙΚΘΙ, cf. πεδαϝοίϙοι IGA. 35. — 9 ΣΠΚ⊦ΕΙ-ᐅΑΣ⊦ΕΥΚΙR. — 10 ΘΘΕ⊦ΙΟΝ. — ΒΑΤΕΒΙΚR.

54 Basis Olympiae a. 1878 reperta.

Ξυνὸν Ἀθανοδόρο τε | καὶ Ἀσοποδόρο τόδε ϝέργον· |
χ͂ο μὲν Ἀχαιός, ὁ δ' ἐξ Ἄργεος | εὐρυχόρο.

E. Curtius Arch. Zeit. 36 (1878) p. 181 n. 220. Roehl IGA. 41.

55 [= 15] Basis marmorea Olympiae a. 1876 effossa.

Ἄτοτος ἐποίϝεἑ Ἀργεῖος | κἀργειάδας
Ἁγελαΐδα τἀργείο.

IGA. 42. — Ἀργειάδας nomen gentis esse et Atotum nobilem Macedonem in hoc titulo origine et Argiva et Macedonica gloriari probabiliter exposuit Roehl.

1 ἐποίϝεἑ: eadem forma IGA. 44 *a*. — 2 Ἁγελαΐδα: i. e. ὁ Ἀγελαΐδα.

56 Anaglyphum Dianae Argis repertum, nunc Berolini in museo.

Πολυστράτα ἀνέθη|κε.

IGA. 45. — **H** testimonium est irrepentis literaturae Ionicae.

57 Basis marmorea Argis reperta.

Πρωτίων Ἀρτάμι.

Foucart apud Le Bas, Voy. arch. II n. 109 *a* (Explic. p. 47).
Ἀρτάμι: cf. Λιμνάτι in titulo Laconico n. 6.

58 [= 17] Smyrnae in muro domus privatae.

Ἔκρινε ὁ δᾶμος ὁ τῶ[ν] | Ἀργείων κατὰ τὸ δόκ[η]|μα τοῦ συνεδρίου τῶ[ν] | Ἑλλάνων, ὁμολογη|σάντων Μα[λ]ίων καὶ | Κιμωλίων ἐμμενὲν | ᾇ κα[δ]δικασσαίεν το[ὶ] | Ἀργεῖοι περὶ [τ]ᾶν | [ν]άσων, Κιμωλίων || ἦμεν Πολυαίγαν, Ἑτη|ρείαν, Λίβειαν.

Ἐδι|κάσσαν νικῆν Κιμωλ[ί|ο]υς. Ἀρήτευε Λέων | [β]ωλ[ᾶ]ς δευτέρας, Ποσιδά||ον γρο[φε]ὺς βωλᾶς, Πέριλ|λος πεδίον.

Le Bas Voy. arch. III n. 1. — Ab eo de aetate huius tituli non recte iudicatum esse monet Kirchhoff Alph.[3] 87.

3 συνεδρίου: consilium Amphictionum intellegendum est. — 13 ἀρήτευε: derivatum esse a stirpe verborum ἀρητήρ, ἀρήτειρα putat Le Bas. — 14 ΣΕΥΤΕΡΑΣ. — 16 πεδίον: non intellego.

---

2. Tituli reliquorum oppidorum Argolicorum: Hermionae, Troezenis, Methonae, Epidauri.

59 Hermionae, ex schedis Fourmonti.

Ἀριστομένες ἀνέθ[εκ]ε Ἀλεξία | τᾷ Δάματρι τᾷ Χθονίᾳ | (῾)Ερμιονεύς. | Δορόθεος ἐϝ[ε]ργάσατο Ἀργεῖος.

CIG. 1194. IGA. 48.
1 ΑΧΕΘ. — 4 ΗΟΡΟΘΕΟΣ.

---

60 Hermionae; tabula marmorea muro domus privatae inserta.

A

Σῶσος Μενητίω, | Ἀριστώνυμος Ἀρίστωνος, | Πασίμηλος Σώσω, | Ὀρυᾶς (?) Μελάνδρυος, || Θαρσύτας Φιλητάδα, | Κρύτων Διοπείθεος, | Σωσίων Ἀρίστωνος, | Παρμενίτας Λαχάρεος, | Θαρσίας Ἀστώχω, || Ἐτέοχλος Ὑπεράνορος, | Παρθεμίδας Σώσω, | Εὔφρων Ἀγαθόλα, | Ἀπτα[ρ]αῖος Εὐθυμίδα, | Λίβυς Σηράμβω, || Ἀρισ[τ]όμαχος Σηράμβω, | Εὔθυμος Βωλαγόρα, | Πασίνομος Τρεύθω, | Ξενόδοκος Σωσίωνος, | Ἀστυάναξ Στράτωνος, || Σῶσος Πασιμήλου, | Ἐπίνικος Λαχάρεος, | Σήρ[αμβ]ος..... | ....

B

Σχύρος Εὐρυμήδεος, | Βάρις Μάργω, | Πεισίνοος Κλέωνος, | Μάργος Ἀκέστορος, || Ἔμπυλος Βωλαγόρα, | Σωσίβιος Μ[ύλ]λω, | Σῶσος Ἀχαιῶ, | Ἀντίοχος Ἀδάμα, | Ἀρίστιππος Αἰνετῶ,|| Ἄνανθος Τρεύθω, | Θεαρίων Πεισινόω, | Φώκυλος Κλησίππω, | Κίτος Ἀσπασίω, | Φιλόξενος Ἀνδροκλέος, || Καραιὸς

Ἀλκιμένεος, | Ἐπικύδης Δαμοκρίτω, | Γηρίων Στίχω, | Σωσίων Στίχω, | Σωτάδας Σωτάδα, || Τιμάνωρ Πάσωνος, | Ἀμφιμή[δης]. . . σκάδα.

Jules Martha, Bull. Corr. Hell. III (1879) p. 75 sq. n. 1. — Recte iudicat hunc titulum vetustiorem esse quam alios similes eiusdem originis, quia in hoc genetivus sing. II. decl. in -ω exit, excepto uno nomine Πασιμήλου *A* 20. In titulo Hermionensi, qui continet rationem pecuniae in opus aliquod publicum impensae, quem edidit Foucart apud Le Bas Voy. arch. II n. 159*h* (Explic. p. 75) leguntur συγγρόφου 2, τοῦ 15, [ἀρι]στεροῦ 8, sed τώς 19, ζευγώχῳ 8. 9.

B 21 ΣΚΑΛΑ.

---

61 Hermionae in ecclesia St. Nicolai.

A

. . . . | Ζώπυρος. . . . . . ., | Καλλίας Ἀριστοκλέο[ς], | Ἀφροδισ[ία]. . . . ., || Ἀμμία Ἀσκληπιο[δώ]ρου, | Ἀπολλώνιος Δαμαρέτου, | Εἰσίδωρος Σωσθένεος, | Σωτηρίων Φιλοκλέος, | Ὀνάσιμος Ἀριστοκλέος, || Καλλικλῆς Ἐρατοκλέας, | Ζήνων Εὐξένου, | . . . . δαρις Χαριτοῦς, | [Ζ]ωπύρα Καλλιστράτας, | [Μ]νασίων Ἡρακλίδα, || Εὔοδος Ἡρακλίδα, | Ἴναχος Ἡρακλίδα, | [Ἀ]κέρδων Ἡρακλίδα, | . . . . . . ος Ἡρακλίδα, | . . . .

B

. . . . . . Δαμοκλέας, | Ἀφροδισία Σιμία, | Εὔπλους Ὀνασίμου, | Ζωπυρίων Δάμωνος, || Εὐτυχίδας Τισικράτεος, | Ἱεροκλέα Τισικράτεος, | Σωτηρὶς Ἀγαπατίδος, | Ἀρτεμισία Σω[σθέ]νεος, | Εὐφροσύνα Θεοκλείδα, || Ζωπύρα Νικαρέτας, | Σώστρατος Μεγάλλας, | Σωφρόνιος . . . . . ., | Σωτηρίων Ἀφροδισίας, | Ἑρμίας Καλλισθέ[νεος], || Δαμοκρατὶς Ξένωνος, | Δαματρία Θεογέν[εο]ς, | Σώσιππος Πεισιδίκας, | Ὀνασικρατὶς Νουμην[ίου], | Ἄτταλος Σώφρωνο[ς], || Ἀφροδίσιος Σωσιδά[μου], | Ἀκέρδων Σωδάμου.

C

. . . . | . . . . | . . . . Σωκράτεος, | Φιλιππίδας . . . . , || Σωτηριδίων Σωτηρίωνος, |

Φίλων Ἀγαθοκλέος, | Ζώπυρος Ἀγαπατίδος, | Λίβυς Δαμονί-
10 χου, | Ἱππίας Πεισιδίκας, || Κάλλων......, | Ὀνάσιμος Σω-
τηρίων[ος], | Ἀφροδισ[ία] Ξένωνος, | Ζώπυρος Σαράπιδ[ος], |
19 Ψαμάθα Ὁμιλι....., || Νικὼ Καλλιππ[ίδ]α, | Ἀγάθων....
..., | ....

CIG. 1211. Ex accuratiore apographo et ectypo denuo edidit Jules Martha, Bull. Corr. Hell. III (1879) p. 79 sqq., qui dicit titulum ita male scriptum esse, tam neglegenter distinctis versibus, ut certa imago eius aut certus ordo nominum reddi non potuerit.

---

62 vide pp. 47—49.

---

63 In mucrone hastae Olympiae a. 1876 effosso.

Μεθανίοι ἀπὸ Λακεδαιμονίον.

Kirchhoff Alph.³ 152. Roehl IGA. 46.

---

64 Prope Ligurio, haud procul a via quae Naupliam tendit.

Παναρίστα
Ἀρτάμυτι
δεκάταν.

CIG. 1172. — Titulum ad templum aliquod Epidauriorum referendum esse putat Boeckh.

1 ΠΜΑΡΙΣΤΑ. — 2 Ἀρτάμυτι: υ vitio scriptum esse putat Ahrens Dial. II 123. 240.

3. Tituli Aeginetici.

65 Aeginae inter rudera templi veteris.

[Τᾷ θεᾷ τᾷ ἐ]ν Κολιάδαις Ἀβλίον ἐποίεσε Ἀλτίμο.

CIG. 2138. G. Hirschfeld Arch. Zeit. 30 (1872) p. 19 sq. Roehl IGA. 352.

62 Tabula Troezene reperta.

. . . . μόνων . . . .
. . . . [τοῦ] αὐ[λ]ῶνος 𐅆Χ𐅅Β𐅃𐅃𐅃CCCC . . . .
. . . . λ. . . . . π[ὰρ τῶγ] Καλλικράτεος ΧΧΒ . . . .
. . . . δέ[ρ]ματος CCCC—I, χ. α . ἀπὸ τῶν τ . . . .
. . . . ν ἐν τοῖς ποταμοῖς ἐς Πραμερίαν . . . .
. . . . Δαμοφάνεος ἐ[ς] τὰν ἀνοικοδομίαν τᾶς ἐν . . . .
. . . . μ. . . α . ων λίθων πὰ[ρ] Δίωνος 𐅄, ἐπὶ τ . . . .
. . . . [τι]μὰ ἐπὶ τᾷ τομᾷ τοῦ στυλοβάτα παρα . . . .
. . . . πὰρ Ἐχεσθένεος 𐅃𐅃𐅃, ποὶ ξύ[λα] . . . .
. . . . δος πὰρ Πειθάνδρου ΓCCC—
. . . . CCCC. . OO . . . .
. . . . [ἐ]φό[δ]ιον καὶ ναῦσθλον Φιλίσκ[ῳ] . . . .
. . . . [ἐ]φόδ[ιον] 𐅃𐅃𐅃𐅃 . θυματο . . . .
. . . . [τ]ὰν ὁδὸν τὰν εὐθεῖαν τὰν ἀπ[ὸ] . . . .
. . . . [ἀπὸ τᾶν ἐπικαπ]ίδων τᾶν Διον[υσίου] . . . .
. . . . δαμ. . . . . χωρίου πὰ[ρ] . . . .
. . . . Φαλακρίῳ ΓCC, πορίου Φαλακρίῳ 𐅄𐅃 . . απου ὑπὲ[ρ] . . . .
. . . . [Π]ει[θ]άνδρῳ 𐅄𐅃𐅃CC, τοίχου ἐργασίας ἀπ[ὸ] . . . .
. . . . τοίχου ἐργασίας τοῦ ἐν τᾷ ἐπι . αμιδι τᾷ σ . . . .
. . . . Δαμοφάνει 𐅄𐅃𐅃𐅃𐅃, ἐς Ἑρμιό[ναν] . . . .
. . . . διορθ[ώσιος] τῶμ πὰρ τὸν Ἀγυῆ ἔς τε ποὶ τὰ Φαλακ[ρίου] . . . .
. . . . [τ]οῦ ἐπ' ἀριστερ[ὰ] τοίχου τοῦ λιθίνου Ἐχεσθένει 𐅅Β . . . .
. . . . [Δαμοφ]ά[ν]ει 𐅅Β𐅃𐅃𐅃CCC, πλίνθων [μ]υριᾶν ὁλκᾶς καὶ ἀποστ[εγάσσιος] . . . .

...... [πλίνθω]ν χιλιᾶν ὁλκᾶς καὶ ἀποστεγάσσιος Λιμναίῳ ΓCC ......
...... ἀ[π]οστεγάσσιος τῶν τοίχων τῶν λιθίνων πρ ......
...... ς Ἐχεσθένει ΓCCC, τοῦ [χ]όου τοῦ ἐπὶ τὰν ἱμασσιὰν Παντ ......
...... τελῳ ἐς Κόρινθον ποὶ τὸν ναύκλαρον. ἐξ ΓCC—I, ἐς Μέγ[αρα] ......
...... [τ]ᾶς ὁδοῦ ἀπὸ τοῦ Ἀγυέως ἔς τε ποὶ τὸ ἱαρὸν ἐργασίας Δαμ ......
...... CCC . αν ..... ἐς τὰν ὁδὸν τὰν πὰρ τὰς ἐπικαπίδας ......
...... [τὰν] παλαιὰν ὁδόν, ἃ συνεχώθη ἐποικοδομήσιος Ἐχεσθένει ⊟C ......
...... [Δ]αμοφάνει ℾƷƷƷΓCCCΞ, ὑπὲρ τῶμ Φαλακρίου τὰν ὁδὸν ἐ ......
...... [τ]ῶν Θερσάνδρου .... ιωνι ΓCCCIOO, ὁδοῦ ἐργασίας ἐκ κιο ......
...... [τ]ῶγ χωρίων τῶμ Πυθοδώρου ᾧ οἱ λίθοι ἔτμηθεν, Θεοδώρ[ῳ] ......
.. [ὑπὲρ τῶν μισθωτῶν, οἳ] εἰργά[ζ]οντο τὰν ὁδόν, ἐς σῖτον Ἑλλωτίῳ ƷƷƷ, ὁδοῦ ἐρ[γασίας ἀπὸ] ......
...... CCC ..., ὁδοῦ ἐργασίας ἀπὸ Ψίφας Θεσσαλίωνι CC . . I, ὑποδ[ομᾶς] ......
...... [Ἐχεσ]θένει . ⊟ℾƷCCC, χοεύσαντι τὰ ὑπὲρ τᾶς ὑποδομᾶς Κλ[εισθένει] ......
...... νας ἐπεξορυχθείσας ὑποικοδομήσαντι τὰ θεμέλια Ἐχε[σθένει] ......
...... ἀπὸ τῶν Θεογνήτου πὰρ τὸ Θερσάνδρου ἐργασίας Ἐχεσθένει ......
...... τοις πὰρ τὰν ὁδὸν τιμά ....C.., τοίχων λιθίνων ἀποθρι[γκώσιος] ......
...... [σκάπ]ετον τῶν τοίχων τῶν λιθίνων ἐργασίας Φίλωνι ℾƷƷƷΓΞΞICCO ......
...... τοῦ ναοῦ ὀρύξιος Ἐχεσθένει ⊟⊟⊟⊟ƷƷƷ, αὐλῶν ἑρμάσσιος ......
...... ίδος ἐς τὸς αὐλὸς τιμὰ Κλεισθένει CCC, αὐλῶν ὧμ ποτέδει ο ......
...... [ἐ]κ τοῦ δαπέδου κάτωθε ᾠκοδομήθη καὶ τᾶς πυαλίδος περὶ τὸ ......
...... αν ἀποστομώσιος πέντε Ἐχεσθένει ƷƷƷCCCC, ἀποφορήσι[ος] ......
...... τὸ ἔμπροσθε τοῦ ναοῦ Μελανθίῳ ⊟ℾƷ, τοῦ δὲ ὄπισθε τοῦ να[οῦ] ......
...... CCCC, τὰς ζωρύας τὰς ὑπὲρ τοῦ ἱεροῦ παρταμόντι καὶ τὰγ γᾶν ......
...... αν Μελανθίῳ ⊟[⊟]ℾCCΞ, σκαπέτου ὑπὸ τᾶν ζωρυᾶν ὀρύξιος ......

..................ζωρύας ὡς τὸ ὕδωρ ἐπὶ τὸν ναὸν μὴ ῥέῃ Μελανθίῳ ƷƷƷƷ..................
..................ον Ἐχεσθένει ΓC, λευχώματος τᾷ συγγρόφοι(?) Μενεχρ[άτει]................
....................οι ἓν ἐφόδιον καὶ ναῦσθλον Δαμοφάντῳ Ʒ, σκαπέ[του].........................
................[ποτέ]δει ὁ ναὸς Μελανθίῳ B B B 𐅄ƷƷƷΓCC, ἐπορύξιος..........................
...................Ἑρμαίῳ 𐅄ΓCC==O, ἐργώναις τομᾶς τοῦ στρώμα[τος]..........................
..................[χι]λίων διακατίων ἑξήκοντα ἑπτὰ Δίωνι, Θεοδώ[ρῳ]..............................
...................[χιλίω]ν ἑκατὸν τεταράκοντα πέντε Κλ[εισθένει]................... sic
...........................μ.ν πεντήκοντα τρῖς ἐπ...
...........................τριακατίων ἐνενήκον[τα]......................................
..............................νι 𐅄ƷƷƷƷΓ...
................................νι 𐅄...
................................ιαχα...

Post alios edidit Foucart apud Le Bas, Voy. arch. II n. 157 *a* (Explic. p. 69). — Titulus continet rationem pecuniae consumptae in aedificando templo quodam et corrigendis viis, quae ad eum locum tendebant. Notae numerorum hae sunt:

𐅆 = 1000	X = 1000	I = obolus
𐅅 = 500	B = 100	O = chalcus
𐅄 = 50	Ʒ = 10	
Γ = 5	C = 1	

9 ποῖ: eadem forma huius praepositionis exstare videtur in titulo Hermionensi Le Bas Voy. arch. II n. 159 *h*, 19. — 26 ἱμασσιάν: idem esse atque αἱμασιάν putat Foucart. — 27 **ΚΟΡΙΓΘΟΝ**. — 39 ἀποθρι[γκώσιος]: suppl. Bursian Rhein. Mus. XI (1857) p. 321. — 46 ζωρύας: vivum flumen significare putat Foucart. — 50 ἓν: dubium; sed noli de ἐν praepositione cogitare; nam ἐς c. acc. legitur vv. 27. 29. 34. 42.

66 [= 20] Aeginae in muro ecclesiae Ἁγίου Ἀσωμάτου.

Ὃς τόδ' ἄγαλμ' ἀνέθεκε, | Φιλόστρατός ἐστ' ὄνυμ' αὐτῷ· | πατρὶ δὲ τῷ τένο Δαμο|φόον ὄνυμα.

CIG. 2138*d*. IGA. 354.

---

67 Tituli sepulcrales.

1 Ἀριστολαΐδα. — CIG. 2140 a^7. IGA. 357.

2 Ἐγδέλ|ο τόδε | σᾶμα. — CIG. 2140 a^6. IGA. 356.

3 Σομέδεός | ἐμι. — IGA. 358.

---

68 Duo fragmenta marmoris albi Olympiae a. 1878 reperta.

Γλαυκίας Αἰγινάτας ἐ[π]οίεσε.

IGA. 359. — Cf. Pausan. VI 9, 4 sq.

---

69 Aeginae.

Μὲ ἐκ τᾶς ὁδō. |
[Τόν]δ' Ἅβον λίθον | [ἔ]στασε σσκοπὸν ἀγ[ρō, ὁδῖτα?].

IGA. 360.

2 ΛΗΑΒΟΝ. — 3 [ἔ]στασες σκοπόν scripsit Roehl, qui putat ν paragogicum assimilatione in σ mutatum esse. [ἔ]στασ' ἐς σκοπὸν Meister Jahrb. Phil. Paed. 1882 p. 525. σσκοπὸν fortasse defenditur eo, quod est in titulo Boeotico n. 295, 62 sqq. τὰ ππάματα.

---

70 [= 21] Aeginae in sepulcro.

a. c

Σκυθίνου | Θεογένιο[ς]. |

b

Μ*ὴ ἄνοιγε· | οὐ γὰρ μ|ὴ συνείκῃ | τῷ ἄλλον
τινὰ | κατθέντι ἐς τ[αύ]ταν || τὰν σορόν· αἰ
δὲ μή, αὔταυτον | αἰτιάσῃ.

CIG. 2140*b*. Le Bas Voy. arch. II n. 1708.

b 1 N litera deleta. — 2 συνείκη: Hesychius: συνείκει· συμφέρει. Cf. Ahrens Dial. II 344.

IV. Tituli Corinthii, coloniarum Corinthiarum, Sicyonii.

A Corinthiis Corcyraeorum et Syracusanorum civitates conditas esse cum alii dicunt tum Thucydides I 25. VI 3. De Leucade aliisque Corinthiorum coloniis agit Strabo X p. 452. Acras a Syracusanis conditas esse dicit Thucydides VI 5.

1. Tituli Corinthii.

71 [= 22] Lapis a. 1874 repertus in agro prope Acrocorinthum.

Δϝε(ι)νία τόδε [σᾶμα], τὸν ὤλεσε πόντος ἀναι[δές].

Lolling, Mitteil. arch. Inst. I (1876) p. 40 sqq. IGA. 15. — Titulus βουστροφηδὸν scriptus est.

---

72 In Corinthiaca prope Oenoam veterem.

Κλε(ι)τόλας.

IGA. 16. — Literae a dextra ad sinistram spectant.

---

73 In vase fictili reperto in sepulcro rupi inciso prope Corinthum.

Ἀγαμέμνον, Αλκά, Δορίμαχος, Σάκις,
Ἀνδρύτας, Πάϙον, Φίλον, Θέρσανδρος.

CIG. 7. Sunt nomina diversis figuris imaginis subscripta; aetatem sexto seculo inferiorem esse non posse demonstravit Kirchhoff Alph.³ p. 91 sq.

74 In vase Cervetris reperto.

ϝιϙ́, ϙυλατο.α, Ἀλαθϙ́, ϝιϙ́, Κλε..., Διϙ́.

Conze, Annal. dell. Inst. 36 (1864) tav. OP. — Singula nomina adscripta sunt figuris feminarum mortuum quendam in toro deponentium. Literatura est seculi a. Chr. sexti.

---

75 In cratere prope Capuam reperto.

Πολύδας, Ἀντιφάτας, Πολύφας,
Εὔδορος, Πάντιππος, Πολύδορος.

CIG. 7373 literis minusculis. Kirchhoff Alph.[3] 89 hanc inscriptionem et eas quae sequuntur inter exempla literaturae Corinthiacae retulit.

---

76 In vase Caerete reperto.

Πολύφαμος, ϝιον, ϝιον, ϝιον, Δίον, Χάρον, Πολύστρατος, ϙόραξ.

CIG. 7374 literis minusculis. Cf. Kirchhoff Alph.[3] 89. — In vase picta est venatio apri; venatores sunt octo, quorum tribus subscriptum est ϝιον.

---

77 In vase prope Caere reperto.

Αἴϝας, Ἕκτορ, Αἰνέας.

CIG. 7377 literis minusculis. Cf. Kirchhoff Alph.[3] 89.

---

78 In cratere prope Caere reperto.

Πρίαμος, ϝεκάβα, (ʽ)Ἕκτορ, Αἰνϙ́, Κιανίς,
ϙόραξς, Ἱππόμαχος, Κεβριόνας, Ξάνθος,
Δαΐφοβος, Πολυξένα, Κασάνδρα.

CIG. 7379. Annali dell' Inst. 1855 tav. XX. Cf. Kirchhoff Alph.[3] 89. — In Cassandrae nomine secunda litera male scripta est, ita ut E esse videatur.

---

79 In lecytho Carysti in insula Euboea reperta.

Ἱπποϊάτας, Ἱππόστροφος.

CIG. 7380 *b* literis minusculis. Cf. Kirchhoff Alph.[3] 89.

---

80 In vase Corinthio, quod ubi repertum sit nescitur.

Παλαμέδες, Νέστορ, Προτεσίλας, Πόδαργος, Πάτροκλος, Βάλιος, Ἀχιλλεύς, Ὀρίϝον, Χσάνθος, [Ἕ]Εκτο[ρ], Ἀέθον, Μέμν[ον]. Χάρες μ' ἔγραψε.

De Witte, Arch. Zeit. 1864 p. 153 sqq. Mixta sunt nomina virorum et equorum. Heydemann Rhein. Mus. 36 (1881) p. 617 dicit Hercherum se docuisse Orionem vitio scriptum esse pro Arione, quod nomen equi sit apud Homerum Ψ 346.

---

81 Testae Corinthi prope arcem repertae.

1 (1) *a* ...ἀνέθεκε τῷ Ποτε(ι)δᾶνι. — *b* Τιμον[[δας] | ἔγραψε Βία.

2 (3) Ἀ(μ)φιτρε(ί)ταν Ϝιό[λας].

3 (4) [Σθ]ένελος, Ἀθαναε(ί)α.

4 (5) Περαε(ι)όθεν ἵϙομες. — *e* vocalis in prima syllaba per **B**, in tertia per **E** scripta est; quarum literarum priorem ε et η, alteram ει significare docuit Kirchhoff Alph.[3] 90. Sed non prorsus desunt exempla diversae rationis scribendi: IGA. 20, 110. 112. Itaque fortasse Πε(ι)ραε(ι)όθεν legendum est, cum talis sit forma usitata huius nominis.

5 (6) [Π]οτε(ι)δᾶνός ε(ί)μ' ἄϙοιτις.

6 (7) Σιμίον μ' ἀνέθεκε Ποτε(ι)δάϝον[ι Ϝάνακτι].

7 (8) ..ον μ' ἀνέθ[ε]κε Ποτε(ι)δᾶνι Ϝάν[ακτι]. [Ἀμφιτ]ρίτα.

8 (12) [Ποτ]ε(ι)δάϝονι Ϝάνακτι.

9 (36 *a*) Μιδονίδας ἔγραφσε κἀνέθεκε. — Literae correctae sunt ⊦, N.

10 (40) Ξενϝοκλέ[ς].

11 (45) [Ἀχ]ιλ(λ)εύς. Λύσιπ(π)ος.

12 (47) ϙυλοίδας μ' ἀνέθεκε. — Literae a dextra ad sinistram spectant.

13 (50) Πυρϝός. Ταχυδρό[μος]. — Nomina equis adscripta.

14 (59 *a*) Ὀνύμον.

15 (61) Ἀπὸ Διϝό[ς].

16 (62) . . . δϙ χαρίεσ(σ)α[ν ἀ]φορμάν. — Literae βουστροφηδὸν positae.

17 (63) . . . ς· τὺ δὲ δὸς χαρίεσ(σ)αν . . .

18 (71) [Ἀ]μφιτρίτ[α].

19 (108 *a*) . . . [ἐπ]αγγείλας· τὺ δέ δὸ[ς χα]ρίεσ(σ)αν ἀμοιϝάν.

Roehl IGA. 20.

---

2. Tituli Corcyraei, Leucadii, Syracusani aliarumque coloniarum Corinthiarum.

82 Fragmentum Corcyrae repertum.

[Σᾶμ' Ἐχετ]ίμου ματρὸς ἐγὸ ἕστα[κ] | ἐπὶ τύμῳ
Πο(υ)λυνόϝας· σ[τοναχὰ δ' υἱῷ κατελεί]πετο ματρ[ός].

CIG. 20. Kaibel Epigr. Gr. 181 *a*. Roehl IGA. 340. — Titulus βουστροφηδὸν scriptus est.

---

83 [= 24] Corcyrae in sepulcro vetusto.

Υἱοῦ Τλασίαϝο Μενεκράτεος τόδε σᾶ μα,
Οἰανθέος γενεάν· τόδε δ' αὐτῷ | δᾶμος ἐποίει.

Ἐς γὰρ πρόξενϝος δάμ|ου φίλος· ἀλλ' ἐνὶ πόντῳ
ὄλετο, δαμοσίον δ|[ὲ χαφὸν ῥό[θιον τὸν ἔθαψε].
Πραξιμένες δ' αὐ|τῷ γ[αία]ς ἀπὸ πατρίδος ἐνθὸν
σὺν δάμ[ο]|ι τόδε σᾶμα κασιγνέτοιο πονέθε.

IGA. 342. Kaibel Epigr. Gr. 179. Titulus βουστροφηδὸν scriptus est.

1 Τλασίαϝο: ϝ literam insertam esse a poeta Dorico sermonem epicum imitante exposuit Blass Misc. epigr. p. 131. Cf. ἰλέϝο[ι] n. 14. — 4 versum coniectura explevit Roehl.

---

84 [= 23] Corcyrae in sepulcro vetusto.

Σᾶμα τόδε Ἀρνιάδα· χαροπὸς τόνδ' ὄλε|σεν Ἄρες
βαρνάμενον παρὰ ναυσ|ὶν ἐπ' Ἀράθθοιο ῥοϝαῖσι
πολλὸ|ν ἀριστεύ*οντα κατὰ στονόϝεσ(σ)αν ἀϝυτάν.

Kaibel Epigr. Gr. 180. Roehl IGA. 343. Titulus βουστροφηδὸν scriptus est.

2 βαρνάμενον: βαρνάμενος n. 91. βαρνάμενοι etiam in epigrammate Attico (a. 408) Herm. 17 (1882) p. 626. — 3 ῥοϝαῖσι: hoc uno loco **PH** literae scriptae sunt. — 4 ἀριστεύ*οντα: **T** litera deleta; ἀριστεύϝοντα Kaibel. Cf. Blass Ausspr. 65.

---

85 [= 25] Fragmentum stelae sepulcralis Corcyrae repertum.

Στάλα Ξενϝάρεος τοῦ Μεῖξιός εἰμ' ἐπὶ τύμῳ.

Kaibel Epigr. Gr. 181. Roehl IGA. 344. — Literae a dextra ad sinistram spectant.

Μεῖξιος: Μέγαρεῖ n. 109. Cf. Blass Ausspr. 73.

---

86 Terminus in Corcyra repertus.

Λεξειάτας.

IGA. 345. — Literae a dextra ad sinistram spectant.

87 [= 26] Terminus repertus in palaeopoli Corcyrae, nunc ibidem in museo collegii.

Ὅρϝος ἱαρὸς
τᾶς Ἀκρίας.

IGA. 346. — Pars H literae ante Ορϝος exstat.

---

88 [= 27] Terminus repertus Corcyrae in palaeopoli.

Ὅρβος | ἱαροῦ κ|αὶ ὁσίου.

CIG. 1909. Wachsmuth, Rh. Mus. 18, p. 577.

---

89 [= 28] Tabula aenea Corcyrae reperta, deinde cum collectione Woodhouse equitis Londinum translata.

Πρύτανις Στράτων, | μεὶς Ψυδρεύς, ἁμέρα τε|τάρτα ἐπὶ δέκα, προστάτας | Γνάθιος Σωκράτευς. || Πρόξενον ποεῖ ἁ ἁλία | Διονύσιον Φρυνίχου | Ἀθηναῖον, αὐτὸν καὶ | ἐκγόνους· δίδωτι δὲ καὶ | γᾶς καὶ οἰκίας ἔμπασιν. || Τὰν δὲ προξενίαν γράψαν|τας εἰς χαλκὸν ἀνθέμεν, | εἴ κα προβούλοις καὶ προ|δίκοις δοκῇ καλῶς ἔχειν. |

Διονύσιον || Φρυνίχου | Ἀθηναῖον.

W. Vischer, Epigraph. u. arch. Beitr. aus Griechld., p. 7 sqq. = Kleine Schriften II p. 13 n. 22. — Quarto a. Chr. seculo hoc decretum tribuit.

---

90 [= 29] Corcyrae in museo Francisci Prossalendi, in tabula aerea. Boeckh.

Ἔδοξε τᾷ ἁλίᾳ πρό|ξενον εἶμεν τᾶς | πόλιος τῶν Κορκυ|ραίων Φιλιστίωνα || Θευδώρου Λοκρόν, αὐ|τὸν καὶ ἐκγόνους· εἶ|μεν δὲ αὐτοῖς γᾶς | καὶ οἰκίας ἔγκτασιν | καὶ τὰ ἄλλα τίμια, ὅ||σα καὶ τοῖς ἄλλοις | προξένοις καὶ εὐερ|γέταις γέγραπται. | Τὰν δὲ προξενίαν | γράψαντας εἰς χάλ||κωμα ἀναθέμεν, ὁ|πεῖ κα δοκῇ προβού|λοις προδίκοις | καλῶς ἔχειν· τὸν | δὲ ταμίαν δόμεν || τὸ γενόμενον ἀνάλωμα. |

Φιλιστίωνα Θευ|δώρου Λοκρόν.

CIG. 1844. Hoc decretum et tria simillima n. 1841. 1842. 1843 Boeckhius circa Ol. 140 scripta esse putat.

15 sq. ὀπεῖ: cf. Ahrens Dial. II 362.

---

91 [= 97] ʽTitulus in Acarnania septentrionali loco incerto repertus.

Προκλείδας τόδε σᾶμα κεκλ|έσεται ἐνγὺς (ʽ)οδοῖο, |
ὃς περὶ τᾶς (ʽ)αυτο(ῦ) γᾶς | θάνε βαρνάμενος.

CIG. 1794 *h*. IGA. 329. Kaibel Epigr. Gr. 182. — Titulum ex colonia aliqua Corinthiorum oriundum esse literatura docet. Kirchhoff Alph.[3] 95 eum Anactorio oppido tribuit.

1 **ΙΟΛΒ**. — 2 **ΒΣΒΙΑΙ**. — 4 **ΜΑΒΝ**–, βαρνάμενος: cf. n. 84.

---

92 In insula Leucade.

Μικύθας.

IGA. 338. Kirchhoff Alph.[3] 95.

---

93 Dodonae in margine vasis aenei.

Φιλοκλε(ί)δα(ς ʽ)ο Δαμοφίλου Λευκάδιος Δὶ Ναΐῳ.

Carapanos Dodone IV, 2 (p. 40) = tab. 23 n. 1. Roehl IGA. 339.

---

94 Syracusis in insula Ortygia ad templum, quod antea putabatur esse Dianae.

Κλεομέ[ν]ες ἐποίεσε [τ]ὀπ|έλ(λ)ονι,
ὁ(ῦ) κ[ίβδ]ε[λ]α [ἴ]ε[ι χρ]ε̃σι[ν λ]ε[τ]ὰ κα[τὰ] Ϝέργ[α].

Ita Roehl IGA. 509. Affert glossam Hesychii λητή· ἱέρεια.

---

95 [= 31] Galea aenea a. 1817 inter rudera Olympiae reperta.

ʽΙάρον ὁ Δεινομένεος
καὶ τοὶ Συρακόσιοι
τῷ Δὶ Τυρ(ρ)άν' ἀπὸ Κύμας.

CIG. 16. IGA. 510. Kaibel Epigr. Gr. 745. — Galea dedicata est a. 473 Tyrrhenis apud Cumas victis.

Versibus 2 et 3 hexametrum effici putat Roehl.

---

96 Inter sepulcra prope ruinas Acrarum.

[Λ]ῦσις ὁ Χιμάρου.

CIG. 5458. IGA. 507. — TIMADOV.

---

97 Acris in Sicilia.

Συϙϙ.

CIG. 5435. IGA. 508.

---

3. Tituli Sicyonii.

98 Mucro Olympiae a. 1878 repertus.

Σεκυονί[ον].

IGA. 17. 27 *a*. — Σεκυών scriptum reperitur etiam in nummis apud Mionnetum Suppl. IV p. 161.

---

99 Titulus repertus Melitaeae in oppido Thessaliae.

Ἀλκιμάχου
[Σ]εκυόναθεν.

Dittenberger Herm. 13 p. 396. Kirchhoff Alph.³ 138. Roehl IGA. 326. — Literatura in hoc titulo non est Sicyonia; itaque Thessaliae eum tribuerunt Kirchhoff et Roehl.

V. Tituli Megarici
cum Selinuntiis et Byzantio.

Selinuntem a Megarensibus Hyblaeis conditam esse narrat Thucydides VI 4, Byzantium a Megarensibus Scymnus 715 sqq. et Stephanus Byzantius s. v.

Quod in dialecto Megarica ου (et ει) scripsi ex consuetudine Doridis mitioris, eius rei argumenta exposui in Philol. Anzeiger XIII (1883) p. 653. Eadem est sententia Eug. Schneideri, De dialecto Megarica, Gissae 1882, p. 57 sqq.

1. Tituli Megarici.

100 In lapide rudi in Megaride reperto.

Ἀπόλ(λ)ονος
Λυκείο(υ)

IGA. 11. — Titulum Corinthium esse putat Fick, Gött. gel. Anz. 1883 p. 116.

---

101 In vetere ecclesia inter Eleusina et Megara.

Σᾶμα τόδε Ὑψικλέος | Μεγαρε̃ς τόνδε [ἐνθάδ' ἔθαψαν].

Lenormant Rhein. Mus. 1866 p. 390 n. 230. Roehl IGA. 14. Cf. Kirchhoff Alph.[3] 99.

---

102 Megaris.

...κος Νίκωνος Ἀρτάμιτι.

Foucart apud Le Bas, Voy. arch. II n. 24*a* (Explic. p. 11).

---

103 Lapis Spartae repertus.

Χαῖρις | Θεγείτου | Μεγα[ρ]εύ[ς].

Roehl, Mitteil. arch. Inst. I (1876) p. 234 n. 7. Literas dicit esse quarti seculi.

2 Θεγείτου: ο vocalis in nominibus a Θεο– incipientibus omissae plura exempla cum in aliis titulis tum in Megaricis qui sequuntur reperies.

---

104 [= 34] Titulus Megaris Athenas translatus.

Ἀγαθᾷ τύχᾳ. Ἐπὶ γραμμ[ατ]έω[ς] ...., | ἐπὶ δὲ βασιλέως ἐν Αἰγοσθ[ένοις Ἡρά]κωνος, μηνὸς τρίτου, συναρχ[ίαι προ]–

εβουλεύσαντο ποτὶ τὰν βου[λὰν] || καὶ τὸν δᾶμον· ἐπειδὴ Ἀπολ[λόδω]|ρος Ἀλκιμάχου Μεγαρεὺς εὔ[νους] | ἐὼν διατελεῖ τῷ δάμῳ τ[ῷ Αἰ]γοσθενιτᾶν καὶ χρείας παρέ[χεται] | καὶ κοινᾷ καὶ καθ' ἰδίαν τοῖς δε[ομέ]|νοις τῶν πολιτᾶν, ἀεί τινος ἀ[γαθοῦ | π]α[ραίτι]ος γενόμενος· ἀγαθᾷ τύχ[ᾳ δεδό]|χθαι τᾷ [βουλᾷ κα]ὶ τῷ δάμῳ, πρό[ξε]|νον εἶμεν αὐτὸν καὶ [ἐκ]γό[νους] | τᾶς πόλιος Αἰγοσθενιτᾶν· εἶ[μεν δὲ] || αὐτῷ ἔγκτησιν γᾶς καὶ οἰκία[ς καὶ] | τὰ ἄλλα πάντα, ὅσα καὶ τοῖς ἄλλ[οις] | π[ρ]οξένοις ὁ [νό]μο[ς] κε[λ]εύει· εἶμε[ν δὲ] | αὐτῷ καὶ ἐπιμομίαν· ἐπεὶ δέ κα [δό]|ξῃ, ἀναγραψάντω οἱ δ[αμ]ιοργοὶ εἰ[ς στά]|λαν λιθίναν ἐν τῷ ἱ[ερῷ] τοῦ Με[λάμ]ποδος· δίδοσθαι δὲ [καὶ] μερίδα α[ὐτῷ ἐ]κ τῶν Μελαμποδείων, καὶ καλ[έσαι] | αὐτὸν εἰς προεδρίαν καθάπερ [καὶ | το]ὺς ἄλλους προξένους.

Welcker, Kleine Schriften III p. 242 sqq. Le Bas, Voy. arch. II, n. 12 (Explic. p. 6). — Titulum esse prioris partis seculi 3, quo tempore Megara cum foedere Achaico coniuncta essent, demonstravit Foucart apud Lebasium l. l. Decreta Aegosthenitarum aetatis posterioris partim dialecto Boeotica scripta sunt.

19 init. **ΙΗ**.

---

105 Megaris in muro Olympiei.

Ἐπὶ βασιλέος Διογένεος, ἐγραμμά|τευε βουλᾷ καὶ δάμῳ Ἕλιξος Εὐ[δά]μου, ἐστρατάγουν Παγχάρης Δι|οδώρου, Ἕριμνος Θεμνάστου, Εὔφαμος || Εὐκλείωνος, Τεισίων Ἀμφία, Μέγυλ|λος Σιλανοῦ· ἔδοξε βουλᾷ καὶ δάμῳ· | ἐπειδὴ Ἱππίας Περικλέος Ἀκαρνὰν | ἐξ Ἀστακῶν διατελεῖ εὔνους ἐὼν | τῷ δάμῳ τῷ Μεγαρέωγ καὶ χρείας || ἀεὶ τῷ δεομένῳ τῶμ πολιτᾶν παρέχ[ε]|ται φιλοτίμως, ἀγαθᾷ τύχᾳ· πρόξενον | εἶμεν αὐτὸγ καὶ εὐεργέταν τᾶς πόλιος | τᾶς Μεγαρέωγ καὶ ἐκγόνους αὐτοῦ· ἀγ|γραψάτω δὲ τὸ δόγμα τόδε ὁ γραμματεὺς || τοῦ δάμου εἰς στάλαγ καὶ ἀνθέτω εἰς τὸ | Ὀλυμπιεῖον.

Le Bas, Voy. arch. II n. 27 et Explic. p. 15. — Titulus est seculi a. Chr. tertii. Similes complures eodem loco editi sunt, e quibus cum non multum de dialecto disci possit, paucos in hunc delectum recepi.

106 Megaris in muro Olympiei.

Ἐπειδὴ Ἀγαθοκλῆς Ἀρχιδάμου | Βοιώτιος εὔνους ἐὼν διατελεῖ | καὶ εὐεργέτας τοῦ δάμου τοῦ | Μεγαρέων, ἀγαθᾷ τύχᾳ δε-δό||χθαι τᾷ βουλᾷ καὶ τῷ δάμῳ· | πρόξενον αὐτὸν εἶμεγ καὶ ἐκ|γόνους αὐτοῦ τᾶς πόλιος τᾶς | Μεγαρέωγ κὰτ τὸν νόμον· εἶμεν | δὲ αὐτῷ καὶ οἰκίας ἔμπασιν || καὶ προεδρίαν ἐμ πᾶσι τοῖς ἀγῶ|σιν οἷς ἁ πόλις τίθητι· ἀγγραψά|τω δὲ τὸ δόγμα τόδε ὁ γραμμα|τεὺς τοῦ δάμου ἐν στάλᾳ λιθί|νᾳ καὶ ἀνθέτω εἰς τὸ Ὀλυμπιεῖον. || Βασιλεὺς Πασιάδας· ἐστρατά|γουν Διονύσιος Πυρρίδα, Δαμέ|ας Ματροκλέος, Ἀντίφιλος Σμά|χου, Μνασίθεος Πασίωνος, Ἑρκίω[ν] | Τέλητος· γραμματεὺς βου-λᾶς || καὶ δάμου Ἵππων Παγχάρεος.

Le Bas, Voy. arch. II n. 29 et Explic. p. 16. — Titulus est tertii a. Chr. seculi.

---

107 Megaris in domo privata prope Olympieum.

Ἐπειδ[ὴ] Ἑρμῶναξ Ἑρμογένεος Τροζάνιος διατελεῖ εὔ|νους ἐὼν τῷ δάμῳ τῷ Μεγαρέων, ἀγαθᾷ τύχᾳ δε|δόχθαι τᾷ βουλᾷ καὶ τῷ δάμῳ· πρόξενον εἶμεν | καὶ εὐεργέταν τᾶς πόλιος τᾶς Μεγαρέων καὶ ἐκ||γόνους αὐτοῦ· εἶμεν δὲ αὐτῷ καὶ ἀτέλειαγ καὶ | ἀσυλίαγ καὶ κατὰ γᾶγ καὶ κατὰ θάλασσαν | καὶ πολέμου καὶ εἰράνας καὶ οἰκίας ἔμπασιν· | ἀγγράψαι δὲ τόδε τὸ δόγμα τὸγ γραμματέα τοῦ | δάμου ἐν στάλᾳ καὶ ἀνθέμεν εἰς τὸ Ὀλυμ-πιεῖ[ον]. || Βασιλεὺς Θεόμαντος· ἐστρατάγουν Φωκῖνος Εὐ|άλκου, Ἀριστότιμος Μενεκράτεος, Δαμοτέλης | Δαμέα, Θέδωρος Παγχάρεος, Πρόθυμος Ζεύξιος, | Τίμων Ἀγάθωνος· γραμ-ματεὺς βουλᾶς καὶ δά|μου Πασίων Δωροθέου.

Foucart apud Le Bas, Voy. arch. II n. 33*a* (Explic. p. 18).

1 Τροζάνιος: Foucart l. l. exemplis collectis demonstravit Τροζάν, Τροζάνιος formas primigenias huius nominis fuisse. Cf. n. 12, 13.

---

108 Megaris in domo privata.

Συναρχίαι προεβουλεύσαντο ποτί τε τοὺς αἰσιμνάτα[ς καὶ | τὰν] βουλὰν καὶ τὸν δᾶμον· ἐπειδὴ Ἱκέσιος Μητροδ[ώ|ρου]

Ἐφέσιος ὁ κατασταθεὶς ἐπ' Αἰγίνας ὑπ[ὸ | τοῦ βασ]ιλέος Εὐμένεος διατελεῖ τὰν πᾶσαν σ[πουδ]ὰν || [ποιούμενος] τοῦ δάμου το[ῦ] Μ[ε]γαρέων, [ο]ὐθὲν [ἐλλείπων] | ....τω.........

Vischer Epigraph. u. arch. Beitr. aus Griechld. n. 47 (Kleine Schriften II p. 64 sqq.). Foucart apud Le Bas, Voy. arch. II n. 35*a* (Explic. p. 25).

1 *αἰσιμνάτα[ς]*: cf. *αἰσιμνά[τ]ας* in titulo Selinuntio n. 109 *a. b*, 6; *αἰσιμνῶντες* in titulo Chalcedonio CIG. 3794. — 2 **ΕΠΕΙΔΕ**. — 4 Εὐμένεος: Eumenes II regnavit aa. 197—159 a. Chr.

---

2. Tituli Selinuntii et Byzantius.

109 Fragmenta laminae aeneae Olympiae reperta.

a. b

[Μὲ]γαρίδος..........[α]ἴ τί κ[α].....| λεο.....[κα]ρπευέσθο...|....μεστοι.....[ο]μιέσθο [?ἀ|λ]λὰ δα.....ομιέσθο, αἰ...||...[χρέ]ματα δαμε[υέτο.....ὀ] | αἰσιμνά[τ]ας ℎόπε[ρ κα μὲ ἐ?]....ἱαρὸν κὰ(τ) [τὸν νόμον]...|...μενοι ἔχον..... έτο ἐκ [τ]ᾶς νᾶς ἐς.....[τ]ίσις ἔστο αὐ[τά]...|...α φεύγον... [ἐν Σ]ελινόεντ||ι ϝοικε͂ ἐλ....[Μέγαρ]εὺς μὲ παϝ(?)...|... [τὰ] χρέματα το...ι ἀνίτο σὺν | τῷ Μέγα[ρεῖ.....τεισ]άντο τοὶ ὑ[ιοί(?) an Ὑ[βλαῖοι?]...|...δυοδέκατος.....|...... [τ]οὶ παῖδες...||...τοὶ παῖ[δες]...|...[α]ἰσχρόν.

d—f

......ον [ἑ]κατέ[ρο ἀπο[γραφά?.......|....τ]ὰ χρ[έματα τἐπιβά(λ)λ]ο[ντα αὐτοῖς ἐπεί κα ὁ] π[ατ]ὲρ ἀποθάνε, αἴ κα λο͂ντι ἀπο[δ]όσθαι, οὐ Ϙολυ[έσ]|θον. Τοὶ δὲ πρόσθε ἔφευγον το͂ν γραμ(μ)άτον [τ]ο͂ν π[ερὶ......καὶ πε]ρὶ κρ....[καὶ περ]ὶ ἀνο[σ|ίο]ν καὶ [περὶ κιξαλ]λᾶν(?) [καὶ περὶ......] μόον, τοῦτοι οὐκ ἐνόρκιοι, οὔτ' αὐτοὶ οὔτε τοὶ σὺ[ν τ|ού]τοις φυγόντες. Τὸ δὲ ϝέ[τ]ος ἄρχει ἁλυμπιὰς [ᾇ ὁ δεῖνα τοῦ δεῖνος]...ς, Ἐπα– [ὁ δεῖνα τοῦ δεῖνος]–οκρά[τ|ε]ος τὸ[ν ἀγο͂να ἐθέσ]θαν [ἐν Ὀλυμπίᾳ].

IGA. 514. — Titulus aut a Selinuntiis aut a Megarensibus positus esse putandus est. Scriptus est βουστροφηδόν. Continebat

»pactionem iureiurando firmatam de bonis eorum, qui exules Megaris Selinuntem transmigraverant«. Roehl.

a. b 5 ƎꟼOII. — 8 νᾶς: dubitanter scripsit Roehl afferens Hesychii glossam νῆς· τὸ ἔνης, ὅπερ ἐστὶν εἰς τρίτην· Δωριεῖς δὲ νᾶς λέγουσι. — 12 Μέγα[ρεῖ]: cf. Μεῖξιος n. 85. Blass Ausspr. 73. — *d—f* 4 ΛΟΝΙΙ. — 5 ΙΟΙϺΟϘ.

---

110 Fragmenta reperta Selinunte inter rudera templi Apollinis.

[Δι]ὰ το(ὺ)ς θεο(ὺ)ς το(ύ)[σ]δε νικὸντι τοὶ Σελινο(ύ)ν[τιοι· | δι]ὰ τὸν Δία νικὸμες καὶ διὰ τὸν Φόβον [καὶ] | δ[ιὰ] Ἑρακλέα κ[α]ὶ δι' Ἀπόλλονα καὶ διὰ Π[οτ]|ε[ιδᾶ]να καὶ δι[ὰ] Τυνδαρίδας καὶ δι' Ἀθ[α]|ν[ά]αν καὶ διὰ Μαλοφόρον καὶ διὰ Πασι[κ]|ρά[τ]ειαν καὶ δι[ὰ τ]ο(ὺ)ς ἄλλο(υ)ς θεο(ύ)ς, [δ]ιὰ δ[ὲ] Δία | μάλιστ[α]. Φιλ[ίας] δὲ γενομένας ἐνχ[ρ]υσ[έο(υ)[ς] ἐλά[σα]ντα[ς, τὰ δ'] ὀνύ-ματα ταῦτα κολ|άψαντ[ας ἐς τὸ Ἀπ]ολ[λ]όνιον καθθέμε|ν, τὸ Διὸ[ς προ]γρά[ψαν]τες. Τὸ δὲ χρυσίον | (ʽ)εξέκ[οντα τ]αλάντον ἔμεν.

Benndorf, Metopen von Selinunt p. 27 sqq. Roehl IGA. 515.

Compluribus locis lapis ita fractus est, ut partes singularum literarum evanuerint. v. 7 sqq. nonnulla aliter atque Benndorf constituenda putat Blass Rhein. Mus. 36 (1881) p. 615 sq.

11 ἔμεν: verisimilius ita quam ε(ἶ)μεν; cf. Philol. Anzeiger 13 (1883) p. 653.

---

111 [= 35] Lapis ex oppido Otschakow prope Olbiam veterem sito Athenas translatus.

Ὁ δᾶμος ὁ Βυζαντίων. | Ἔδοξε τᾶ βουλᾶ καὶ τῶ δᾶμω, τοὶ στραταγοὶ εἶ|παν· ἐπεὶ Ὀρόντας Ὀλβιοπολείτας Ἀβάβου | υἱός, ἀνδρὸς οὐ μόνον τᾶς πατρίδος ἀλλὰ καὶ || σύνπαντος τοῦ Ποντικοῦ πρατιστεύσαντος | ἔθνεος καὶ μέχρι τᾶς τῶν Σεβαστῶν γνώ|σεως προκόψαντος, πολλὰ δὲ καὶ Βυζαν|τίων πόλει κατά τε τὰς δαμοσίας χρήας καὶ | τῶν εἰς τὸ ἐνπόριον πλεόντων προστα||σίας γενομένου ὠφελίμου, καὶ αὐτὸς ὥσ|περ τὰ λοιπὰ τοῦ πατρὸς οὕτως τὰν ποτὶ τὸν | δᾶμον εὔνοιαν καὶ προξενίαν διαδεξά|μενος, ὑπὸ πάντων μὲν μαρτυρεῖται τῶν | εἰσπλεόντων εἰς τὸν Πόντον πολειτᾶν || ἐπὶ φιλανθρωπίᾳ καὶ

προνοίᾳ, καὶ παρα|γενόμενος δὲ εἰς τὰν πόλιν σεμνῶς μὲν | προέστα τᾶς ἐπιδαμίας, προετρέψατο | δὲ εἰς πλήονας ἐλπίδας τόν τε δᾶμον καὶ | τοὺς ἰδιώτας, ἁ δὲ πόλις διά τε τὰς εἰς ἑαυ||τὰν εὐεργεσίας καὶ διὰ τὸ τοῦ ἀνδρὸς καὶ | τῶν προγόνων ἀξίωμα ἐπιτάδηον ἡγήσα|το μὴ ἀσαμήωτον αὐτοῦ τὰν παρουσίαν ἀφέ|μεν, ὅ τε δᾶμος ἐνεχελεύσατο τοῖς στραταγοῖς τειμᾶσαι τὸν ἄνδρα· δι' ἃ δὴ δεδό||χθαι ἐπαινῆσθαι μὲν Ὀρόνταν Ἀβάβου | Ὀλβιοπολείταν ἐπὶ τᾷ διανεχεῖ ποτὶ τὸν | δᾶμον καὶ διὰ προγόνων προνοίᾳ· εἶμεν δὲ | αὐτὸν καὶ πολείταν καὶ τοὺς ἐγγόνους αὐ|τοῦ καὶ ποτιγραφῆμεν ποθ' ἃν κα θέλη τὰν || ἑκατοστύων· τεθῆμεν δὲ αὐτοῦ καὶ εἰκό|να ἐπίχρυσον ἐν τῷ βουλευτηρίῳ ἐν | τόπῳ, ᾧ μὴ ἄλλος ἔχει, καὶ ἐπιγραφὰν ἐπι|γράψαι τὰν προδεδηλωμέναν. Διαπέμψα|σθαι δὲ καὶ τὸ ψάφισμα τοῦτο δι' ἐπιστο||λᾶς τοῖς Ὀλβιοπολειτᾶν ἄρχουσιν, ἵνα καὶ ἁ | πατρὶς αὐτοῦ τᾶς Βυζαντίων εὐνοίας πρὸς | τὸν ἄνδρα καὶ τειμᾶς αἴσθηται.

CIG. 2060. — Ababus Olbiopolita Augusto et Tiberio imperatoribus porticum dedicavit CIG. 2087; quare cum verisimile sit eundem Ababum patrem Orontae fuisse, hoc decretum Byzantiorum Tiberii imperatoris aetate vel paulo post factum esse iudicandum est. Dialectus in eo est Dorica postumo studio antiquitatis redintegrata.

7 ΠΡΟΚΟΙΑΝΤΟΣ. — 8 χρήας: de η vocali in hoc et in aliis vocabulis pro ει scripta cf. Blass Ausspr. 52. — 15 ΠΕΟΝΟΙΑΙ.

PARS SECUNDA.

TITULI DORICI CIVITATUM MARIS AEGAEI.

VI. Tituli Cretenses.

1. Tituli antiquissimi Gortynii.

112 Tabula marmorea prope Gortynem reperta.

A

.....ἀ]ποδόντανς....|...ματρὶ δ' υἱύς....

B

1.2 Τὸνς ἐπιβα[λλόντανς, αἴ κά τις | θανὸν θυγατέρα πα]τρϙ̄οχον κα-
3.4 ταλίπε̨, ἒ αὐ[τὸνς τõν κρεμάτον| ἐπιμελέ(θ)θαι ἒ πὰρ τὸ]νς ματρόαν-
5.6 ς καταθέμεν· [αἰ δ' ἄλλϙ ἀποδοῖν|τ' ἒ καταθείεν, μὲ] δικαίαν ἦμεν τ-
7.8 ὰν ὀνὰν καὶ τὰν κα[τάθεσιν· καὶ α|ἰ ἄλλος πρί]αιτό τις χρέματα ἒ
9.10 καταθεῖτο τὸν τᾶς πα[τρϙόκο, τ]|ὰ [μ]ὲν [κρ]έματα ἐπὶ τᾷ πατρϙόκ-
11.12 ϙ ἦμεν, ( )ο δ' ἀποδόμενος ἒ κατ|αθένς τῷ πριαμένϙ ἒ καταθε-
13.14 μένϙ, αἴ κα νικαθε̨̄, διπλε̨̄ κα|τασταςεῖ, καἴ τί κ' ἄλλ' ἀτάσε̨, τ-
15 ὸ ( )απλόον ἐπικαταστασεῖ.

C

1.2 ....στέγαμ μέν, | αἴ κ' ε̨̄ ἐν πόλι..............
3.4 ....ι ἐν τᾷ στέγ|ᾳ, τὸν δ' ἄλλο[ν..............
5.6 ....ἄ]λλϙ ὀπυιέ(θ)θ|αι τᾶς πυλᾶ[ς..............
7.8 ....ἀ]ποδατέ(θ)θαι δ|ὲ τὸν κρεμάτ[ον............
9.10 ....εσται παι π|ατρϙόκϙ λ..................
11.12 ....υας τᾶς πυ|λᾶς ὀπυιέ(θ)θ[αι..............
13.14 ....σμετιμλε|ιοι ὀ[π]υίεν τ[ὰν πατρϙ̄οχον..........
15 ....ε...αιχ |

Haussoullier, Bull. Corr. Hell. IV (1880) p. 461 sqq. Roehl IGA. 475. Blass Rhein. Mus. 36 (1881) p. 612 sqq. — Pars est legis hereditariae Gortyniorum tribus columnis scripta literis βουστροφηδὸν positis. De supplendo hoc titulo maximam partem convenit inter Roehlium et Blassium; cf. quae de ea re ipse Roehl dixit in Addendis.

Columnam *B* Attice ita fere transcripsit Blass:

Τοὺς προσήκοντας, ἐάν τις ἀποθανὼν θυγατέρα πατροῦχον κα|ταλίπῃ, ἢ αὐτοὺς τῶν χρημάτων ἐπιμέλεσθαι ἢ τοῖς πρὸς
5 μητρὸς τῇ παιδὶ προσή||κουσιν ὑποθεῖναι· εἰ δ' ἄλλῳ ἀπόδοιντο ἢ ὑποθεῖεν, μὴ κυρίαν εἶναι τὴν | ὠνὴν καὶ τὴν ὑπο-
9 θήκην· καὶ εἰ ἄλλος πρίαιτό τις κτήματα ἢ || ὑπόθοιτο τῶν τῆς πατρούχου, τὰ μὲν κτήματα ἐπὶ τῇ πατρούχῳ | εἶναι, ὁ
13 δ' ἀποδόμενος ἢ ὑποθεὶς τῷ πριαμένῳ ἢ ὑποθε||μένῳ, ἐὰν ἡττηθῇ, διπλῇ ἀποτείσει, καὶ ἐάν τι ἄλλο βλάψῃ, | τὸ ἁπλοῦν προσαποτείσει.

B 14 ἀτάσε̄: agnovit Blass, cui assentitur Roehl in Addendis, laudans ἀτασεῖ IGA. 72. — *C* 6 πυλᾶς: i. e. φυλῆς Attice. — 9. 13: coniecturas parum probabiles Roehlii et Blassii vide apud ipsos.

---

113 [= 37] Tabula marmorea prope Gortynem reperta.

....

1.2 [. . . τ]ὸν ἄνπαντον, καὶ μ[ὲ] ἐ|πάνανκον ἦμεν τέλλεν [τὰ τ]-
3.4 [ō ἀν]παναμένο, καὶ τὰ χρέμα|τα ναιλι(θ)θαι α(ἴ) τί κα κατα[λίπε?]-
5.6 [ι (ʿ)ο ἀν]πανάμενος· πλιυι δὲ τὸν | ἄνπαντομ μὲ ἐπικορε̄ν. [Αἰ δὲ]
7.8 [ἀπο]θάνοι (ʿ)ο ἄνπαντος γνέσια | τέκνα μὲ καταλιπόν, πὰρ τὸ[νς τ]-
9.10 [ὸ ἀνπ]αναμένο ἐπιβαλλόνταν|ς ἀνκορε̄ν τὰ χρέματα. Αἰ δ[ὲ θέ]-
11.12 [λοι] (ʿ)ο ἀνπανάμε[ν]ος, ἀποϝειπ|άθθο κατ' ἀγορὰν ἀπὸ τõ λᾶ[ϝος],
13.14 [ἀπ' (ʿ)õ ἀ]γορεύοντι, καταϝελμέν|ον τὸν πολιατᾶν· ἀνθέμ[εν. .]
15.16 [. . . . σ]τατέρανς ἐγ δ[ι]καστ||[ερίο] ....

....

Thénou, Rev. arch. n. s. VIII (1863) p. 441 sqq. Voretzsch, Jahrb. Philol. Paed. 99 (1869) p. 665 sqq. Savelsberg ibid. p. 679 sqq. Bréal, Rev. arch. n. s. 36 (1878) p. 346 sqq. Roehl IGA. 476. — Pars est eiusdem legis cuius n. 112 et eadem ratione scripta. De aetate literaturae, quae in utroque lapide exstat, cf. Kirchhoff Alph.³ 62. 65.

Quae intelleguntur, Attice scribere possis ita:

. . . τὸν ἀνάφαντον (i. e. εἰσποίητον), καὶ μὴ ἐπάναγκες εἶναι τελεῖν τὰ τ|οῦ ἀναφηναμένου (i. e. εἰσποιησαμένου), καὶ τὰ χρή-
5 ματα . . . . . . ἐάν τι καταλίπῃ || ὁ ἀναφηνάμενος. . . . . δὲ τὸν ἀνάφαντον μὴ ἐπιχωρεῖν (i. e. ἐμβατεύειν εἰς κληρονομίαν).

Εἰ δ' | ἀποθάνοι ὁ ἀνάφαντος γνήσια τέκνα μὴ καταλιπών,
9 παρὰ τοὺς τ||οῦ ἀναφηναμένου προσήκοντας ἀναχωρεῖν τὰ χρή-
ματα. Εἰ δὲ θέ|λοι ὁ ἀναφηνάμενος, ἀπειπάσθω κατ' ἀγο-
13 ρὰν ἀπὸ τοῦ λίθου,||ἀφ' οὗ ἀγορεύουσιν, ἠθροισμένων τῶν πο-
λιτῶν· ἀναθεῖναι...|....στατῆρας ἐκ δικαστηρίου.......

De causa, ad quam pertinet haec pars legis, copiose egit Bréal l. l. — 4 ἀναιλί(θ)θαι: per ἀναιρεῖσθαι interpretatus est Voretzsch, cui assentitur Blass Rhein. Mus. 36 (1881) p. 615 comparans ἀ[φαι]λῆσθαι, quod exstet in titulo Cretico CIA. II, 547, 6; sed Blass ipse concedit ι vocalem nondum aliis exemplis illustratam esse. — 5 πλιυι: secunda litera non prorsus certa est; πρίυϊ, i. e. πρίν, legendum putat Bréal. — 11 sq. ἀποϝει-π|άθθο: alia exempla θ geminati sunt in titulo Cretensi, quem edidit Bergmann (De inscriptione Cretensi inedita, Berolini 1860), θαλάθθας 17, [θά]λαθθαν 36, ἰθθέντι, ἰθθάντες 54. Helbig, De dialecto Cretica (Plauen 1873) p. 12 ex scriptura quae est in θάλαθθα colligit θ a Cretibus similiter atque σ pronuntiatum esse; reliqua exempla aliter explicat idem p. 15. — 13 κατα-ϝελμένον: subesse verbum κατ-αϝέλλω putat Roehl. — 15 ἐγ δικαστ[ερίο]: cum secunda litera incerta sit, fortasse scribendum est ἐδ δικαστ[ερίο], ut ἐδδιέται pro ἐκδίηται IGA. 477; cf. Blass l. l.

---

114 Nummus Gortynius, qui nunc Berolini asservatur.

Γόρτυνος τὸ παῖμα.

Kirchhoff Alph.[3] 62. — Literae a dextra ad sinistram scriptae sunt. Friedlaender, Arch. Zeit. 31 (1874) p. 101 dubitat, utrum παῖμα an φαῖμα legendum sit.

---

115 Nummus Gortynis oppidi.

Τισυροι.

Friedlaender, Zeitschr. f. Num. VI (1879) p. 233. — Literae a dextra ad sinistram spectant. De Sallet l. l. p. 263 putat Τισυροι referendum esse ad Tityrum nomen montis.

2. Foedera inter varias civitates Cretenses icta.

116 [= 47] Fragmentum in agro Hierapytnio repertum.

....ων |
...................................αν δις οπο |
..........[τὰν ἰσοπολιτείαν καὶ τὸν ὅρκ]ον ἀγγραψάντων |
.........................[ἐς] στάλας λιθίνας τρεῖς κα[ὶ] ||
[τὰν μὲν θέντων οἱ Ἱεραπυτνίοι ἐ]ν Ἱεραπύτνᾳ ἐν τῷ ἱερῷ τᾶς Ἀθανα[ί|ας τᾶς Πολιάδος, τὰν] δὲ ἄλλαν οἱ κατοικόντες Ἱεραπυτνίοι | [ἐν Γόρτυνι] ἐν τῷ ἱερῷ τῶ Ἀσκλαπιῶ, τὰν δὲ τρίταν κοινᾷ | [ἐν Λυττοῖ] ἐν τῷ ἱερῷ τᾶς Ἀθαναίας. Αἰ δέ τί κα δόξῃ βωλευομέ||νοις] ἐπὶ τῷ κοινᾷ συμφέροντι ἐπιδιορθῶσαι ἢ ἐξελὲν ἢ ἐν||βαλέν, μὴ ἔνορκον ἔστω· ὅτι δὲ ἐ(γ)γράψαιμεν, ἔνορκόν τε ἔστω καὶ | ἔνθινον.

Ὅρκος· Ὀμνύω τὰν Ἑστίαν καὶ Τᾶνα Ὀράτριον καὶ Τᾶνα | Δικταῖον καὶ Ἥραν καὶ Ἀθαναίαν Ὠλερίαν καὶ Ἀθαναίαν Πολιάδα | καὶ Ἀθαναίαν Σαλμωνίαν καὶ Ἀπόλλωνα Πύθιον καὶ Λατὼ καὶ Ἄρ[τε]|μιν καὶ Ἄρεα καὶ Ἀφροδίταν καὶ Κωρήτας καὶ Νύμφας καὶ τὸς Κυρβάν||τας καὶ θεὸς πάντας καὶ πάσας· ἦ μὰν ἐγὼ εὐνοησῶ τοῖς ἐπί|πασι Ἱεραπυτνίοις τὸν ἅπαντα χρόνον ἁπλόως καὶ ἀδόλως, καὶ δὴ | τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν ἑξῶ καὶ πολεμησῶ ἀπὸ χώρας παντὶ | σθένει, οὗ καὶ οἱ ἐπιπάντες Ἱεραπυτνίοι, καὶ τὸ δίκαιον δωσῶ καὶ | ἐμμενῶ ἐν τοῖς συγκειμένοις καὶ οὐ κακοτεχνησῶ οὐδεν(ὶ) τῶν || ἐν τᾷδε τᾷ ἰσοπολιτείᾳ γεγραμμένων οὔτε λόγῳ οὔτε ἔργῳ | οὐδὲ ἄλλῳ ἐπιτραψῶ ἑκὼν καὶ γινώσκων παρευρέσει οὐδεμιᾷ | οὐδὲ τρόπῳ οὐδενί. Αἰ δέ τι ἐπιορκήσαιμι, τῶν ὤμοσα ἢ τῶν συνε|θέμαν, τός τε θεὸς τὸς ὤμοσα ἐμμανίας ἦμεν καὶ ἐξολλύσθαι | κακίστῳ ὀλέθρῳ καὶ μήτε γᾶν μήτε δένδρεα καρπὸς φέρεν μή||τε γυναίκας τίκτεν κατὰ φύσιν, τῷ τε πολέμῳ μή με σῶον νεέσθαι· εὐορ|κῶσι δὲ ἁμὶν τός τε θεὸς ἱλέος ἦμεν καὶ γινέσθαι πάντα ἀγαθά.

CIG. 2555. Foedus inter civitatem Hierapytniorum et cleruchos eorum factum, qui ubi habitaverint, deleta priore parte vs. 7 ignoratur. Simile est eius quod sequitur n. 117.

10 ἔνθινον: idem vocabulum significat »das Dortige« in titulo Chersonesi Tauricae reperto Bull. Corr. Hell. V p. 70 sqq. v. 31; quomodo hoc loco et in similibus titulis Creticis explicandum

sit, nescitur. Cf. Blass Rhein. Mus. 36 (1881) p. 612. — 11 Τᾶνα: cf. Τῆνα in titulo Cretensi, quem edidit Bergmann, De inscr. Cret. ined., Blni. 1860, vv. 60. 61. 77. — ΚΑΗΙΝΑ. — 14 ΚΟΡΗΤΑΣ. — 18 οὗ: mirum; eodem loco est υἷ n. 117, 16. 22. — ΔΟΣΩ.

---

117 [= 45] Tabula marmorea opisthographa, olim Venetiis asservata, ubi fragmentum eius anno 1844 exstabat.

......[ἑρπό]ντων δὲ οἱ Ἱεραπυτνίοι τοῖς Λυττίοις ἐς τὰ... ...|...... Λυττίοι τοῖς Ἱεραπυτνίοις ἐς τὰν εὐάμερον τὰ[ν ......, ὁ δὲ κόσμος τῶν | Ἱεραπυτνί]ων ἑρπέτω Λυττοῖ ἐς τὸ ἀρχεῖον· κατὰ ταὐτὰ δὲ καὶ ὁ τῶ[ν Λυττίων κόσμος ἑρπέτω ἐν Ἱεραπύτνᾳ ἐς] | τὸ ἀρχ[εῖον]. Αἰ δὲ οἱ κόσμοι ἐλλιποίεν τᾶν θυσιᾶν τᾶν ἠ(γ)γραμμενᾶν, αἴ κα μή τι πόλε[μος κωλύσῃ, ἀποτεισάν]|των ὁ κόσμος ἕκαστος ἀργυρίω στατῆρας ἑκατόν, οἱ μὲν Ἱεραπυτνίοι τοῖς Λυττίοις τᾷ πόλει, [οἱ δὲ Λυττίοι τοῖς] | Ἱεραπυτνίοις τᾷ πόλει. Ὅτι δέ κα δόξῃ ταῖς πόλεσιν ἐξελὲν ἢ ἐνθέμεν, ὅτι μὲν ἐξέλοιμεν, μήτε ἔνθινον μή|τε ἔνορχον ἦμεν, ὅτι δὲ ἐγγράψαιμεν, ἔνθινόν τε ἦμεν καὶ ἔνορχον. Εἰ δέ τί κα θεῶν ἱλέων ὄντων λάβω|μεν ἀπὸ τῶν πολεμίων, λαγχανόντων κατὰ τὸ τέλος ἑκατέροι. Μὴ ἐξέστω δὲ ἰδίᾳ μήτε πόλεμον ἐ|χφερέσθαι χωρὶς μήτε εἰρήναν τιθέσθαι, αἴ κα μὴ ἀμφοτέροις δόξῃ· αἰ δέ τινές κα ἰδίᾳ ἐξενεγκῶνται, ‖ αὐτοὶ καὶ διαπολεμόντων καὶ μὴ ἐνόρχοι ἔστων οἱ μὴ συμπολεμόντες. Στασάντων δὲ τὰς στάλας ἑκα|τέροι ἐν τοῖς ἰδίοις ἱεροῖς, οἱ μὲν Ἱεραπυτνίοι Ὠλεροῖ ἐν τῷ ἱερῷ, τὰν δὲ ἐν Ἀπόλλωνι, οἱ δὲ Λυττίοι ἐν τῷ [ἱ]ερῷ τ[ῶ Ἀπό]λλωνος καὶ ἐμ πόλει ἐν Ἀθαναίᾳ· στασάντων δὲ καὶ κοινὰν στάλαν ἐν Γόρτυνι ἐν | τῷ ἱερῷ τῶ [Ἀσκλαπιῶ]*. — Ὅρχος Λυκτίων· Ὀμνύω τὰν Ἑστίαν καὶ Ζῆνα Ὀράτριον καὶ τὰν Ἀθαναίαν Ὠλερίαν καὶ Ζῆνα | Μο[ννίτιον καὶ Ἥρ]αν καὶ Ἀθαναίαν Πολιάδα καὶ Ἀπόλλωνα Πύτιον καὶ Λατὼ καὶ Ἄρεα καὶ Ἀφροδίταν καὶ Κωρῆ‖τας καὶ Νύμφας καὶ θεὸς πάντας καὶ πάσας· ἦ μὰν ἐγὼ συμμαχησῶ τοῖς Ἱεραπυτνίοις τὸν πάντα χρό|νον ἁπλ[όως] καὶ ἀδόλως καὶ τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν ἑξῶ καὶ πολεμησῶ ἀπὸ χώρας, υἷ κα καὶ ὁ Ἱεραπύτνιος· | καὶ τὸ δίκαιον δωσῶ καὶ ἐμμενῶ ἐν τοῖς συνκειμένοις, ἐμμενόντων καὶ τῶν Ἱεραπυτνίων. Ἐπιορκόντι μὲν | ἦμεν τὸς θεὸς ἐμμανίας καὶ γινέσθαι πάντα τὰ ὑπεναν-

τία, εὐορκῶσι δὲ τὸς θεὸς ἱλέος ἦμεν καὶ γινέσθαι πολ|*λὰ κἀγαθά. —Ὅρκος Ἱεραπυτνίων· Ὀμνύω τὰν Ἑστίαν καὶ Ζῆνα Ὀράτριον καὶ Ἀθαναίαν Ὠλερίαν κα|[ὶ] Ζῆνα Μοννίτιον καὶ Ἥραν καὶ Ἀθαναίαν Πολιάδα καὶ Ἀπόλλωνα Πύτιον καὶ Λατὼ καὶ Ἄρεα καὶ Ἀφροδί|ταν καὶ Κωρῆτας καὶ Νύμφας καὶ θεὸς πάντας καὶ πάσας· ἦ μὰν ἐγὼ συμμαχησῶ τοῖς Λυκτίοις τὸν | πάντα χρόνον ἁπλόως καὶ ἀδόλως καὶ τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν ἑξῶ καὶ πολεμησῶ ἀπὸ χώρας, υἷ|κα καὶ ὁ Λύττιος· καὶ τὸ δίκαιον δωσῶ καὶ ἐμμενῶ ἐν τοῖς συνκειμένοις, ἐμμενόντων καὶ Λυκτίων. Ἐ|[π]ιορ[κό]ντι τὸς θεὸς ἐμμανίας ἦμεν καὶ γινέσθαι πάντα τὰ ὑπεναντία, εὐορκῶσι δὲ τὸς θε|[ὸ]ς ἱλέος ἦμεν καὶ γινέσθαι πολλὰ κἀγαθά.

Naber Mnemos. I (1852) p. 105 sq. Titulum ex lapide descripsit Cobet. Scriptus est in eodem lapide in quo n. 181. Utrumque foedus circa annum 220 a. Chr. factum esse putat Naber l. l. 88. 105.

4 ἠ(γ)γραμμενᾶν: de ἐγγράφω, cf. Naber l. l. et G. Curtius Verb. II² 170. — 5 κόσμος: in uno titulo Cretensi (Bergmann, De inscr. Cret. ined. Blni. 1860) hoc vocabulum per rhotacismum mutatum est: κορμίοντων 4, [κό]ρμονς 41. — 6. 7 ἔνθινον: idem vocabulum significat »das Dortige« in titulo Chersonesi Tauricae reperto Bull. Corr. Hell. V p. 70 sqq. v. 31. — 13 I litera deleta. — 19 Λ litera deleta.

---

118 [= 46] Tabula marmorea eadem in qua n. 117.

[Θ]εός. |

Ἔδοξεν Ἱαραπυτνίων τοῖς κόσμοις τοῖς σὺν Ἀλεξάνδρῳ καὶ τ(ᾶ) πόλι· Μαγνήτων ἀποστηλάντων | πρεσβευτὰς Θεόδοτον Ἀντιόχω καὶ Ἀριστόμαχον Ἀριστοκλέος καὶ ἀ|νανεωμένων τὰν πατρίαν οἰκειότατα καὶ φιλίαν καὶ ἀξιώντων τὰ γεγρ|αμμένα παρ' αὐτοῖς Κρησὶν τίμια καὶ παρ' ἁμὶν ἀναγραφῆμεν κατὰ τὰ αὐτὰ Μά|[γν]ησι καὶ θέμεν ἐν ἰαρῷ, ἀγαθᾷ τύχᾳ καὶ ἐπὶ σωτηρίᾳ Ἱαραπυτνίων καὶ Μαγνήτων, ἀν|[αγράψαι] τὸς κόσμος ἐς στάλαν λιθίναν· Μάγνησιν ἀτέλειαν καὶ προεδρίαν κ[αὶ ἐπι|γαμίαν] καὶ ἔνκτησιν καὶ θείων καὶ ἀνθρωπίνων μετοχὰν καὶ ἐσαγωγὰν κ[αὶ ἐξ|αγωγὰν] ὑπάρχεν κατὰ τὰ ἀρχαῖα· καὶ

θέμεν τὰν στάλαν ἐν τῷ ἱαρῷ [τᾶς] ‖ Ἀθαναίας τᾶς Πολιάδος. Εἰ δέ τίς κα ἀδικηθῇ Μάγνης ἐν Ἱαραπύτνᾳ, [δό]|μεν αὐτῷ τὸ δίκαιον καθάπερ καὶ τοῖς προξένοις. Ἐπαινέσαι δὲ Μαγν[ή|τας], διότι διαφυλάσσοντι τὰ παρδεδομένα ὑπὸ τῶν προγόνων καὶ ἐπὶ πλέο[ν αὔ]|ξοντι, καὶ τὸς πρεσβευτάς, ὅτι οἰκηΐως καὶ φιλοτίμως διελέχθεν καὶ παρ[εκαλέ]|σαν ἀξίως Μαγνήτων καὶ Ἱαραπυτνίων, καλέσαι τε τὸς πρεσβευτὰς [ἐς πρυ]|τανήϊον καὶ δόμεν αὐτοῖς ξένια ἀργυρίω μνᾶν καὶ παρπέμψαι μετ' ἀ[σφα]|λείας, οἵ κα βωλῶνται. Οἱ κόσμοι πάντες ἐπεστάτον.

Naber, Mnemos. I (1852) p. 114 sqq. Hoc foedus inter Hierapytnios et Magnetes factum aliquanto recentius esse quam antecedens n. 117, quod inter Hierapytnios et Lyctios factum est, exposuit Naber l. l. 115.

---

119 [= 48] Marmor ex Creta in Britanniam delatum.

[Θ]εὸς ἀγαθ[ός.] |

Ἀγαθᾷ τύχᾳ καὶ ἐπὶ σωτηρίᾳ, ἐπὶ κόσμ[ων ἐν μὲν] | Ἱεραπύτνᾳ τῶν σὺν Ἐνίπαντι τῶ Ἑρμαίω [καὶ μηνὸς] | Ἱμαλίω, ἐν δὲ Πριανσιοῖ ἐπὶ κόσμων τῶν σὺ[ν Νέωνι τῶ] | Χιμάρω καὶ μηνὸς Δρομηΐω, τάδε συνέθε[ντο καὶ συνευ]|δοκήσαν ἀλλάλοις Ἱεραπυτνίοι καὶ Πριανσίοι, [ἐμμενόν]τες ἐν ταῖς προυπαρχώσαις στάλαις ἰδίᾳ τε[θείσαις] | Γορτυνίοις καὶ Ἱεραπυτνίοις καὶ τᾷ κατὰ κοινὸ[ν Γορτυνίοις] | καὶ Ἱεραπυτνίοις καὶ Πριανσίοις, καὶ ἐν τᾷ φιλίᾳ [καὶ συμμα]|χίᾳ καὶ ὅρκοις τοῖς προγεγονόσι, ἔν τ' αὐταῖς τ[αῖς πόλεσι] ‖ καὶ ἐπὶ τᾷ χώρᾳ, ᾇ ἑκατέροι ἐχόντες καὶ κρατόν[τες συν]|θήκαν ἔθεντο, εἰς τὸν πάντα χρόνον· Ἱεραπυτ[νίοις] | καὶ Πριανσίοις ἦμεν παρ' ἀλλάλοις ἰσοπολιτείαν καὶ ἐπιγα|μίας καὶ ἔνκτησιν καὶ μετοχὰν (sic) καὶ θείων καὶ ἀνθρωπίνων | πάντων, ὅσοι κα ἔωντι ἐμφύλοι παρ' ἑκατέροις· καὶ πωλόν|τας καὶ ὠνωμένος καὶ δανειζόντας καὶ δανειζομένος | καὶ τἆλλα πάντα συναλλασσόντας κυρίος ἦμεν κατὰ | τὸς ὑπαρχόντας παρ' ἑκατέροις νόμος. Ἐξέστω δὲ τῷ | τε Ἱεραπυτνίῳ σπείρεν ἐν τᾷ Πριανσίᾳ καὶ τῷ Πριαν|σιεῖ ἐν τᾷ Ἱεραπυτνίᾳ, διδῶσι τὰ τέλεα καθάπερ οἱ ἄλλοι ‖ πολίται κατὰ τὸς νόμος τὸς ἑκατέρη

χειμένος. Εἰ δέ τί | κα ὁ Ἱεραπύτνιος ὑπεχθῆται ἐς Πριάνσιον ἢ ὁ Πριανσιεὺς | ἐς Ιεράπυτναν ὁτιοῦν, ἀτέλε[ι]α ἔστω καὶ ἐσαγομένῳ καὶ | ἐξαγομένῳ αὐτὰ καὶ τούτων τὸς καρπὸς καὶ κατὰ γᾶν | καὶ κατὰ θάλασσαν· ὧν δέ κα ἀποδῶται, κατὰ θάλασσαν ἐῶ||σας ἐξαγωγᾶς, τῶν ὑπεχθεσίμων ἀποδότω τὰ τέλεα | κατὰ τὸς νόμος τὸς ἑκατέρη χειμένος. Κατὰ ταὐτὰ δὲ | καὶ εἴ τίς κα νε[ί]μ[η], ἀτ]ελὴς ἔστω· αἰ δέ κα σινῆται, ἀποτεισά|τω τὰ ἐπιτίμια [ὁ] σι[νό]μενος κατὰ τὸς νόμος τὸς ἑκατέρη χει|μένος. Πρειγήϊα δὲ ὧ [κ]α χρείαν ἔχῃ πορηΐω παρεχόντων || οἱ μὲν Ἱεραπυτνίοι κόσμοι τοῖς Πριανσιεῦσι, οἱ δὲ Πριανσιὲς | κόσμοι τοῖς Ἱεραπυτνίοις· αἰ δὲ μὴ παρισχαίεν, ἀποτεισάν|των οἱ ἐπιδάμοι τῶν κόσμων τᾷ πρειγείᾳ στατῆρας δέκα. | Ὁ δὲ κόσμος ὁ τῶν Ἱεραπυτνίων ἑρπέτω ἐν Πριανσιοῖ ἐς | τὸ ἀρχεῖον καὶ ἐν ἐκκλησίᾳ καθήσθω μετὰ τῶν κόσμων· || ὡσαύτως δὲ καὶ ὁ τῶν Πριανσιέων κόσμος ἑρπέτω ἐν Ἱε|ραπύτνᾳ ἐς τὸ ἀρχεῖον καὶ ἐν ἐκκλησίᾳ καθήσθω μετὰ | τῶν κόσμων. Ἐν δὲ τοῖς ἡροϊκ[οῖ]ς καὶ ἐν ταῖς ἄλλαις ἑορταῖς | οἱ παρατυγχανόντες ἑρπόντων παρ' ἀλλάλος ἐς ἀνδρήϊ|ον καθὼς καὶ οἱ ἄλλοι πολῖται. Ἀναγινωσκόντων δὲ τὰν || στάλαν κατ' ἐνιαυτὸν οἱ τόχ' ἀεὶ κοσμόντες παρ' ἑκατέ|ροις ἐν τοῖς Ὑπερβωίοις καὶ προπαραγγελλόντων ἀλλά|λοις πρὸ ἁμερᾶν δέκα, ᾗ κα μέλλωντι ἀναγινώσκεν· | ὁποῖοι δέ κα μὴ ἀναγνῶντι ἢ μὴ παραγγήλωντι, ἀπο|τεισάντων οἱ αἰτίοι τούτων στατῆρας ἑκατόν, οἱ μὲν || Ἱεραπυτνίοι κόσμοι τῶν Πριανσιέων τᾷ πόλει, οἱ δὲ | Πριανσιέες Ἱερα- sic πυτνίων τᾷ πόλει. Εἰ δέ τις ἀδικοίη | τὰ συνκείμενα κοινᾷ διαλύων ἢ κόσμος ἢ ἰδιώτας, ἐ|ξέστω τῷ βωλομένῳ δικαξάσθαι ἐπὶ τῶ κοινῶ δι|καστηρίω, τίμαμα ἐπιγραψαμένος τᾶς δίκας κατὰ τὸ || ἀδίκημα, ὅ κά τις ἀδικήσῃ· καὶ εἴ κα νικάσῃ, λαβέτω τὸ | τρίτον μέρος τᾶς δίκας ὁ δικαξάμενος, τὸ δὲ λοιπὸν ἔσ|τω τᾶν πολέων. Αἰ δέ τι θεῶν βωλομένων ἕλοιμεν ἀγα|θὸν ἀπὸ τῶν πολεμίων ἢ κοινᾷ ἐξοδουσάντες ἢ ἰδίᾳ τι|νὲς παρ' ἑκατέρων ἢ κατὰ γᾶν ἢ κατὰ θάλασσαν, λαν|χανόντων ἑκατέροι κατὰ τὸς ἄνδρας τὸς ἑρπόντας | καὶ τὰς δεκάτας λαμβανόντων ἑκατέροι ἐς τὰν ἰδί|αν πόλιν. Ὑπὲρ δὲ τῶν προγεγονότων παρ' ἑκατέροις | ἀδικημάτων, ἀφ' ὧ τὸ κοινοδίκιον ἀπέλιπε χρόνω, ποιη|σάσθων τὰν διεξαγωγὰν οἱ σὺν Ἐνίπαντι καὶ Νέωνι κόσ||μοι ἐν ᾧ κα κοινᾷ δόξῃ δικαστηρίω ἀμφοτέραις ταῖς πό|λεσι ἐπ' αὐτῶν κοσμόν- sic

των, καὶ τὸς ἐγγύος καταστασάν|των ὑπὲρ τούτων, ἀφ' ἇς κα ἀμέρας ἁ στάλα τεθῇ ἐμ μη|νί· ὑπὲρ δὲ τῶν ὕστερον ἐγγινομένων ἀδικημάτων προ|δίκῳ μὲν χρήσθων, καθὼς τὸ διάγραμμα ἔχει· περὶ δὲ τῶ || δικαστηρίω οἱ ἐπισταμένοι κατ' ἐνιαυτὸν παρ' ἑκατέροις | κόσμοι πόλιν στανυέσθων, ἅγ κα ἀμφοτέραις ταῖς πόλεσ[ι | δό]ξῃ, ἐξ ἇς τὸ ἐπικριτήριον τελέται, καὶ ἐγγύος καθιστάν|των, ἀφ' ἇς κα ἀμέρας ἐπιστᾶντι ἐπὶ τὸ ἀρχεῖον ἐν διμήνῳ, | καὶ διεξαγόντων ταῦτα ἐπ' αὐτῶν κοσμόντων κατὰ τὸ || δοχθὲν κοινᾷ σύμβολον. Αἰ δέ κα μὴ ποιήσωντι οἱ κόσμοι κα|θὼς γεγράπται, ἀποτεισάτω ἕκαστος αὐτῶν στατῆρας | πεντήκοντα, οἱ μὲν Ἱεραπυτνίοι κόσμοι Πριανσίων τᾷ πόλει, | οἱ δὲ Πριανσίοι κόσμοι Ἱεραπυτνίων τᾷ πόλει. Αἰ δέ τί κα | δόξῃ ἀμφοτέραις ταῖς πόλεσι βωλουομέναις ἐπὶ τῷ || κοινᾷ συμφέροντι διορθωσάσθαι, κύριον ἔστω τὸ διορ|θωθέν. Στασάντων δὲ τὰς στάλας οἱ ἐνεστακότες ἑ|κατέρῃ κόσμοι ἐπ' αὐτῶν κοσμόντων, οἱ μὲν sic Ἱεραπυ|τνίοι ἐν τῷ ἱερῷ τᾶς Ἀθαναίας τᾶς Πολιάδος καὶ οἱ | Πριανσίοι ἐν τῷ ἱερῷ τᾶς Ἀθαναίας τᾶς Πολιάδος· || ὁποτέροι δέ κα μὴ στάσωντι καθὼς γεγράπται, ἀπο|τεισάντων τὰ αὐτὰ πρόστιμα καθὼς καὶ περὶ τῶν | δικαίων γεγράπται.

CIG. 2556. — Foedus inter Hierapytnios et Priansios factum, a Boeckhio exeunti seculo a. Chr. tertio tribuitur. Utrum hoc exemplar Hierapytnae an Priansi positum fuerit, diiudicari non potest. Dialectus nonnulla habet e sermone volgari immixta.

12 ΓΡΙΑΝΣΙΟΥΣ. — 22 ἀτέλε(ι)α: cf. Ahrens Dial. II 188. — 24 ΑΓΟΔΟΤΑΙ. — 31 παρισχαίεν: οι pro αι postulat Ahrens Dial. II 341 sq. — 67 τελέται: cf. Ahrens l. l. 201 sq.

---

120 Titulus repertus Deli in templo Apollinis.

Ἀγαθᾷ τύχᾳ. Πρειγευσάντων Κνωσίων τᾶς πόλιος ἐπὶ τὰς πό|λεις τάν τε τῶν Λατίων καὶ τῶν Ὀλοντίων καὶ παρκαλεσάν|των δόμεν αὐτοῖς ἐξ ἀρχιδίων τὰν ἐπιτροπὰν περὶ ὧν | καὶ πρὸ τῶ, ἔδοξε Λατίοις καὶ Ὀλοντίοις κοινᾷ βωλευσα||μένοις, ἐπὶ κόσμων Κνωσοῖ μὲν τῶν σὺν Νενναίωι τῶ | Μοψείω μηνὸς Σπερμίω δευτέρᾳ, Λατοῖ δὲ ἐπὶ τῶν σὺν Διο|κλεῖ τῶ Ἡρῴδα μηνὸς Θιοδαισίω δευτέρᾳ, ἐν δὲ Ὀλόντι |

τῶν σὺν Μενοντίδᾳ τῶ Ἀκάσσονος μηνὸς Ἐλευσυνίω | δευτέρᾳ, δόμεν τὰν ἐπιτροπὰν Λατίος καὶ Ὀλοντίος || τᾷ τῶν Κνωσίων πόλι περὶ τῶν ἀμφιλλεγομένων αὐτοῖς | πόλι πορτὶ πόλιν πάντα περὶ πάντων· καὶ θέμεν στάλαν ἐ|ν ἁμέραις τριάκοντα, Κνωσοῖ μὲν ἐν τῷ ἱαρῷ τῶ Ἀπόλλωνος | τῶ Δελφιδίω καὶ ἐν τῷ ἱαρῷ τῶ δεραι, Λατοῖ δὲ ἐν τῷ τᾶς Ἐλευ|θυίας, ἐν δὲ Ὀλόντι ἐν τῷ ἱαρῷ τῶ Ζηνὸς τῶ Ταλλαίω, ἄλλαν || δὲ κοινᾷ ἐν Δάλῳ ἐν τῷ ἱαρῷ τῶ Ἀπόλλωνος· ὑπὲρ δὲ τῶ|δε τῶ τιθεμένω ἐνγρόφω ἐς Δᾶλον ἀποστηλάντων οἵ τε | Κνωσίοι καὶ οἱ Λατίοι καὶ οἱ Ὀλοντίοι πορτὶ τὸν ἐπιμελη|τὰν πρειγείαν καὶ γράμματα ἐν ἁμέραις τριάκοντα, ὥστε στά||[σα]ι στάλαν ἐς ἃν ἀναγραφησ[εῖ] τὰ δεδογμένα· καὶ ταῦτα ἔσ||τω κύρια. Κρινόντων δὲ οἱ Κνωσίοι ἐν ἑξαμήνῳ, ἄρχοντος | μηνὸς Καρωνίω τῶ ἐπὶ Νενναίῳ, ὡς δὲ Λατίοι ἄγοντι, μηνὸς | .αρ.ωβιαρίω, ὡς δὲ Ὀλοντίοι ἄγοντι, μηνὸς Δελφινίω, καὶ κυ|ρίοι ἔντων οἱ Κνωσίοι ἀνγραφόντ[ε]ς τὸ γενόμενον κρίμα ἐμ μὲν | ταῖς ἐν Κρήτα στάλαις ἐν ἁμέραις τριάκοντα, ἐς δὲ Δᾶλον ἐξα|ποστηλάντων ἐν ταῖς αὐταῖς ἁμέραις· εἰ δέ κα παργενήται | ὁ πρειγευτὰς ὁ ἀπεσταλμένος [ὑ]πὸ τῶν Κνωσίων ἐς Δᾶλον, | κύριος ἔστω ἀγγράφων ἐς τὰν αὐτὰν στάλαν τὸ κρίμα· τὰ δὲ | κριθέντα καὶ ἀγγραφέντα ὑπὸ τῶν Κνωσίων βέβαια καὶ κύρια | ἦμεν ἐς τὸν πάντα χρόνον, καὶ μηκέτι ὑπολειπέσθαι αὐτοῖς || περὶ μηθενὸς ἔνκλημα μηθὲν παρευρέσει μηδεμιᾷ. Δόντων δὲ | Λατίοι καὶ Ὀλοντίοι τούτω τῶ ἐγγρόφω ἑκατέροι χέρα τᾷ τῶν Κνω|σίων πόλι καὶ αὐτοσαυτοῖς. Ἐγγύος δὲ καταστασάντων ἐν ἁμέ|ραις εἴκοσι Κνωσίος διὰ τῶ Κνωσοῖ χρεωφυλακίω ὑπὲρ τούτω τῶ ἐγ|γρόφω, οἵ τε Λατίοι καὶ οἱ Ὀλοντίοι τοῖς Κνωσίοις ἑκατέροι ἀργυρίω Ἀ||λεξανδρείων ταλάντων δέκα, [ἐφ ᾧ]ι ἐμμενίοντι ἐν τούτω τῶ ἐγγρόφω | καὶ ἐν τοῖς κριθένσι ὑπὸ τᾶς πόλε[ο]ς. Ὁποτέροι δὲ μὴ ἐμμενοίεν, τὰν | πρᾶξιν ἦμεν ἐκ τῶν ἐγγύων, καὶ οἱ τῶν Κνωσίων κόσμοι πραξάν|τες ἀποδόντων τοῖς ἐμμένον[σ]ι, καὶ πάντως ἔστω τὰ κριθέντα | κύρια. Ἔντων δὲ οἱ ἐγγύοι, μέστα κα ἁ κρίσις ἐπιτελεσθῇ καὶ ἀγγρα||φῇ, καθὼς προγεγράπται. Εἰ δέ τί κα δόξῃ ὕστερον ταῖς πόλεσι Κνω|σίοις καὶ Λατίοις καὶ Ὀλοντίοις ἢ πορτιγράψαι ἢ ἀφελέν, ταῦτα | ἔστω κύρια. |

Ἀγαθᾷ τύχᾳ. Ἐπὶ Σαραπίωνος ἄρχοντος, μηνὸς Πυανοψι|ῶνος, ὁ παραγενόμενος πρεσβευτὰς παρὰ τᾶς πόλεος ||

τᾶς Κνωσίων Ἁγησίπολις Ἀγαθάνδρω ποτανέγραψε | τὸ ὑποτεταγμένον ψάφισμα συνευ*δοκιόντων | καὶ τῶν παραγενομένων πρεσβευτᾶν, παρὰ μὲν τᾶς | Λατίων πόλεος Ἀρισστάνδρω τῶ Γλαυκία, παρὰ δὲ | τᾶς Ὀλοντίων πόλεος Ἰκαδίωνος τῶ Ἀρχικώμω, κατὰ τὰ ἀ||ποδοθέντα ποτὶ τὸν ἐπιμελητὰν παρὰ τᾶν πολέων γράμματα· | Ἔδοξε Λατίοις καὶ Ὀλοντίοις κοινᾷ βωλευσαμένοις συν|ευδοκησάντων καὶ Κνωσίων· ἀμβαλέν, ὑπερθεμένοις | κατὰ τὰν ἐπιτροπάν, τὸν προ(γε)γραμμένον χρόνον ἐν τᾷ | στάλᾳ τὸν ἐπὶ Νενναίω* Κνωσοῖ κόσμω καὶ Διοκλεῖος Λα||τίω καὶ Μενοντίδα Ὀλοντίω· ἐγγράψαι δὲ ὥστε κυρίος ἦμεν | κρινόντας Κνωσίος ἐν μησὶν δέκα δύο, ἄρχοντος μηνὸς Νε|κυσίω ἐπὶ Ἁγήμονος Κνωσοῖ κόσμω, Λατοῖ δὲ ἐπὶ τῶν σὺν Κυ|δάννῳ τῷ Ἐνίπαντος μηνὸς Θεσμοφορίω, ἐν δὲ Ὀλόντι ἐπὶ | τῶν σὺν Ἀντικλεῖ τῷ Εὐβώλω* μηνὸς Ἀπελλαίω. || Δόντων δὲ Λατίοι καὶ Ὀλοντίοι τούτω τῶ ἐνγρόφω ἑκατέ|ροι χέρα τᾷ τῶν Κνωσίων πόλει καὶ αὐτοσαυτοῖς.

Homolle, Bull. Corr. Hell. III (1879) p. 292 sqq. (= tab. VI bis). — Annum Sarapionis archontis (v. 43) fine secundi a. Chr. seculi non multo superiorem esse putat Koehler ad IGA. II 465.

3 **ΑΡΧΙΔΙΟΝ**. — 5 **ΝΕΝΝΑΙΩΝ**. — 13 Δελφιδίω: cf. n. 132, 46. — **ΔΕΡΑΙ**: obscurum. — 15 sq. **ΤΟΥΔΕ**. — 19 ἀναγραφησ[εῖ]: supplevit Blass Rhein. Mus. 36 (1881) p. 612. — 23 **ΑΝΓΡΑΦΟΝΤ·Ν**. — 39 **Η**. — 46 **Ε** litera deleta. — 51 **ΒΟΥΛΕΥΣΑΜΕΝΟΙΣ**. — 54 **Ι** litera deleta. — 59 **Ι** litera deleta.

---

121 [= 38] Lapis repertus a. 1854 in Creta prope Heracleum, nunc Constantinopoli in museo Turcico ecclesiae S. Irenae.

A Θεός: Τύχα. |

Ἀγαθᾷ τύχᾳ. | Ἐπὶ τῶν Αἰθαλέ|ων κοσμιόντων || τῶν σὺγ Κυίᾳ καὶ | Κεφάλῳ πυρωι|πιωι [Β]ισιῶνος, | γραμματέος | δὲ Φιλίππου, || τάδε ὠμόσαν | ἀγελάοι πάν(τες) | ἀζώστοι ἑκα|τὸν ὀγδοή|κοντα· Ὀμνύω || τὰν Ἑστίαν τὰν | ἐμ πρυτανείῳ | καὶ τὸν Δῆνα τὸν | Ἀγοραῖον καὶ τὸν Δῆ|να τὸν Ταλλαῖον || καὶ τὸν Ἀπέλλωνα | τὸν Δελφίνιον καὶ | τὰν Ἀθαναίαν

τὰν | Πολιοῦχον καὶ τὸν | Ἀπέλλωνα τὸν Ποίτιον || καὶ τὰν Λατοῦν καὶ τὰν | Ἄρτεμιν καὶ τὸν Ἄρεα | καὶ τὰν Ἀφορδίταν καὶ | τὸν Ἑρμᾶν καὶ τὸν Ἅλιον | καὶ τὰν Βριτόμαρτιν || καὶ τὸμ Φοίνικα καὶ τὰν | Ἀμφιώναν καὶ τὰγ Γᾶν | καὶ τὸν Οὐρανὸν καὶ | ἥρωας καὶ ἡρωάσσας | καὶ κράνας καὶ ποτα||μοὺς καὶ θεοὺς πάντας | καὶ πάσας· μὴ μὰν ἐγώ | ποκα τοῖς Λυττίοις | καλῶς φρονησεῖν | μήτε τέχνᾳ μήτε μα||χανᾷ μήτε ἐν νυκτὶ | μήτε πεδ' ἁμέραν καὶ | σπευσίω, ὅτι κα δυνάμαι, | κακὸν τᾷ πόλει τᾷ τῶν | Λυττίων. || Δίκαν δὲ καὶ π..

B ..|ων μηθένε..... | ἦμην καὶ το..... φιλοδρήριος καὶ || φιλοκνώσιος, | καὶ μήτε τὰμ πό|λιν προδωσεῖν | τὰν τῶν Δρηρίων | μήτε οὔρεια τὰ || τῶν Δρηρίων | μηδὲ τὰ τῶγ Κνω|σίων, μηδὲ ἄν|δρας τοῖς πο|λεμίοις προδω||σεῖν μήτε Δρη|ρίους μήτε Κνω|σίους· μηδὲ στά|σιος ἀρξεῖν, καὶ | τῷ στασίζοντι || ἀντίος τελόμαι· | μηδὲ συνωμοσί|ας συναξεῖν | μήτε ἐμ πόλει | μήτε ἔξοι τᾶς || πολέως, μήτε | ἄλλῳ συντελέ|σθαι· εἰ δέ τινάς | κα πυθώμαι συ|νομνυόντας, || ἐξαγγελίω τοῦ | κόσμου τοῖς πλί|ασιν. Εἰ δὲ τάδε | μὴ κατέχοιμι, | τούς τέ μοι θεούς, || τοὺς ὤμοσα, ἐμ|μανίας ἦμην | πάντας τε καὶ πά|σας, καὶ κακίστῳ | ὀλέθρῳ ἐξολλύ||σθαι αὐτός τε | καὶ χρήϊα τἀμά, | καὶ

C μήτε μοι γᾶν | καρπὸν φέρειν || [μήτε γυναίκας | τίκτειν κα]τὰ φύ[σιν]... | ....μ...τα· | [εὐορκέον]τι δέ μοι | [τοὺς] θεούς, τοὺς | [ὤμοσα], ἱλέους ἦμεν | [καὶ πολ]λὰ κἀγαθὰ | [διδό]μεν. — Ὀμνύω δὲ | τὸς αὐτὸς θεούς· || ἦ μὰν ἐγὼ τὸγ κόσ|μον, αἴ κα μὴ ἐξορ|κίξωντι τὰν ἀγε|λᾶν τοὺς τόκα ἐ[γ]|γινομένους τὸν || αὐτὸν ὅρκον, τόν | περ ἁμὲς ὀμωμό|καμες, ἐμβαλεῖν | ἐς τὰν βωλάν, αἴ | κα ἀποστᾶντι, || τοῦ μηνὸς τοῦ Κο|μνοκαρίου ἢ τοῦ | Ἁλιαίου· ἁ δὲ βωλὰ | πραξάντων ἕκα|στον τὸν κοσμί|οντα στατῆρας | πεντακοσίους. | ἀφ' ἇς κα ἐμβαλῇ |

ἁμέρας, ἐν τριμήνῳ. | Αἱ δὲ λισσὸς εἴη*, || ἀγγραψάντων | ἐς Δελφίνιον, | ὅσσα κα μὴ πρά|ξωντι χρήματα, | τοὔνομα ἐπὶ πατρὸς || καὶ τὸ πλῆθος τοῦ ἀρ|γυρίου ἐξονομαινόν|τες· ὅτι δέ κα πράξων|τι, ταῖς ἑταιρείαισιν | δασσα-σθῶσαν ταῖς || ἐμ πόλει, καὶ αἴ πεί | τινες

D οὐρεύωντι Δρηρίοι. || [Α]ἰ δ[ὲ] μὴ πρα[ξαί]|ε[ν] ἁ βωλά, αὐτὰ | τὰ διπλόα ἀ[ποτει]|σάντων, πρα[ξάν]|των δὲ οἱ ἐφεύται | οἱ τῶν ἀνθρωπίνων, | καὶ δασσασθῶσαν | ταῖς ἑταιρείαισιν | κατὰ ταὐτά. ||

Τάδε υπομνάμα|τα τᾶς Δρηρίας χώρας | τᾶς ἀρχαίας τοῖς | ἐπιγινομένοις ἀζώ|στοις, τόν τε ὅρ||κον ὀμνύμεν | καὶ κατέχειν. | Καὶ οἱ Μιλατίοι | ἐπεβωλεύσαν | ἐν τᾷ νέᾳ νε||ομηνίᾳ τᾷ πό|λει τᾷ τῶν Δρη|ρίων ἕνεκα τᾶς | χώρας τᾶς ἁ|μᾶς, τᾶς ἀμφι||μαχόμεθα. | Νικατήρ(ια) | τᾶς ἀγέλας | καὶ ἐλαίαν ἕ|καστον φυτεύ||ειν καὶ τεθραμ|μέναν ἀποδεί|ξαι· ὃς δέ κα μὴ | φυτεύσει, ἀπο|τεισεῖ στα||τῆρας πεν|τήκοντα.

Post alios ediderunt Vischer Rhein. Mus. X (1856) p. 393 sqq. (= Kleine Schriften II p. 104 sqq.) et Dethier, Sitzungsber. Acad. zu Wien XXX (1859) p. 431 sqq. —

Sunt quatuor columnae quatuor lateribus pilae mormoreae incisae. Continent foedus Dreriorum quorum civitas alioquin ignota est et Cnosiorum contra Lyctios factum, quod exeunte seculo a. Chr. tertio ictum esse veri simile est. Hoc autem exemplar Dreri, non Cnosi positum fuisse putandum est.

A 1 inter Θεός et Τύχα scriptum fuisse videtur **ΕΙ**, quod explicare conatus est Dethier. — 6 sq. πυρωι|πιωι: obscura. — [Β]ισιῶνος: nomen mensis. — 29 **ΒΡΙΤΟΜΑΡΓΙΝ** Dethier. — *B* 9 **ΟΥΡΚΙΑ**: Dethier οὔρκια vel οὔρσια putat esse »praesidia«; Vischer legit οὔρια; cf. οὐρεύωντι *C* 41. — 31 sq. πλί|ασιν: »maiori numero«. — *C* 8 **ΜΕΝ** deest apud Dethierum. — 9 τὸς αὐτός: lapicidam errore scripsisse pro το(ὺ)ς αὐτο(ύ)ς putat Helbig, De dial. Cretica (Plauen 1873) p. 32. — 13 sq. **ΕΓ|ΓΑΥΟΜΕ-ΝΟΥΣ**; in fine v. 13 **Γ** deest apud Dethierum. — 27 ἐμβαλῆ: aor. sec. pass.? In apographo, quo Vischer utebatur, erat

ΕΜΙΑΔΗΙ. — 29 λισσός: cf. Hesych. λισσούς· δεομένους. — ΕΙΗΙ Dethier; εἴη τ[ις] coni. Helbig l. l. 43. — 32 sq. ΠΡΑ|Ξ-ΟΝΤΙ. — 37 sq. ΠΡΑΞΟΝΤΙ. — 41 ΤΙΝΕΝ. — οὐρεύωντι: »in praesidio versentur«? — *D* 1 ·ΙΑ· — 19 sq. ΝΕ|ΜΟΝΗΙΑΙ. — 32 init. ΣΑΙ.

3. Decreta de asylo Teio.

Prope oppidum quod nunc est Sigazik reperta sunt non pauca decreta aliarum civitatum, quibus asylum Bacchi, quod Tei erat, confirmatur. Pleraque horum decretorum profecta sunt ex oppidis Cretensibus. Ea responsa sunt ad duas legationes Teiorum, quarum alteri Apollodotus et Colotas alteri Herodotus et Menecles praefuerunt. Apollodotum et Colotam anno 193 a. Chr. in oppida Cretensia missos esse veri simile est, quia decretum Romanorum CIG. 3045 ipsum quoque asylum Teium confirmans hoc anno factum est. Herodotus autem et Menecles triginta aut etiam pluribus annis post missi esse putandi sunt, quia in nonnullis decretis commemoratur τὸ δόγμα τὸ γραφὲν ὑπὸ τῶν προγόνων (Le Bas III n. 76) vel similiter dictum; complura enim oppida cum eo anno, quo Herodotus et Menecles legati venerant, prius decretum renovarent, illud his verbis commemoraverunt. Bina decreta exstant Cnosiorum, Apteraeorum, Bianniorum, Arcadum.

Apographa, quibus Boeckhius in his titulis edendis usus est, parum accurate facta erant. Itaque multa et emendaverunt et suppleverunt Le Bas Voy. arch. III n. 60 sqq. et Waddington, Explic. des Inscr., vol. III p. 28 sqq.; complura etiam decreta antea non descripta addiderunt. At etiam in exemplaribus, quae Le Bas proposuit, non pauca sunt, quae per errorem irrepsisse videantur; quod mirari non possumus, quoniam decreta Dorica dialecto conscripta per lapicidas Teios Ionico sermone assuetos lapidi incisa sunt. Hi igitur η pro α longa non semel posuerunt et alia similiter per neglegentiam mutaverunt.

122 [= 52].

ϝαξίων. |

Ἔδοξεν ϝαξίων τοῖς κόσμοις καὶ τᾷ πόλει ψαφιξαμένοις | κατὰ τὸν νόμον· ἐπειδὴ Τήϊοι διὰ προγόνων φίλοι καὶ συγ|γε-

νεῖς ὑπαρχόντε[ς] τᾶς ἁμᾶς πόλεος ἀπεστείλαν ψά||φισμα καὶ πρειγευτάς, Ἀπολλόδοτον καὶ Κωλώταν, | οἳ καὶ ἐπελθόντες ἐπὶ τὰν ἐκκλησίαν καὶ τὸ ψάφισμα | ἀποδόντες διελέγεν πεδὰ πάνσας σπουδᾶς καὶ φι|λοτιμίας περὶ τῶ * γενέσθαι τὰν καθιέρωσιν τῷ Διονύ|σῳ τᾶς τε πόλεος αὐτῶν καὶ τᾶς χώρας καὶ τὰν ἀσυ||λίαν, τά τε ἄλλα τὰ ὑπάρχοντα αὐτοῖς ἔνδοξα καὶ τίμι|α διαφυλάδδ|εν καὶ συνεπαύξεν ἐς τὸν ἀεὶ χρόνον, περὶ | δὲ τῶν αὐτῶν διαλεγέντος καὶ Περδίκκα τῶ παρὰ τῶ βα|σιλέως Φιλίππω πρειγευτᾶ· δεδόχθαι Ϝαυξίων τοῖς | κόσμοις καὶ τᾷ πόλει, ἐπαινέσαι μὲν τὸν(ς) πρειγευτάν(ς), || διότι καλῶς καὶ συμφερόντως διελέγεν περὶ τὰς οἰκειότατος | τᾶς ὑπαρχόνσας αὐτοῖς πορτ' ἁμὲ καὶ τῶν λοιπῶν ἐνδό|ξων καὶ τιμίων, ἀποκρινάσθαι δέ, ὅτι ὁ δᾶμος ὁ Ϝαυξίων δια|φυλάδ(δ)ων τὰν πορτὶ τὸ θεῖον εὐσέβειαν καὶ τᾷ πόλει τῶν | Τηίων εὐχαριστεῖν βωλόμενος τάν τε καθιέρωσιν τῷ Δι||ονύσῳ τᾶς τε πόλεος τῶν Τηίων καὶ τᾶς χώρας ἀναδεί|κνυντι καὶ παρδεχέται ἱερὰν καὶ ἄσυλον, καθότι παρκα|λεῖ ὁ δᾶμος ὁ Τηίων· ὑπαρξεῖ δὲ καὶ τἆλλα τίμια | Τηίοις πὰρ τᾷ πόλει τῶν Ϝαυξίων νῦν τε καὶ αἰεί. | Ἔρρωσθε.

CIG. 3050. Le Bas Voy. arch. III n. 65 (= Explic. p. 31).
8 1 litera deleta. — 17 ΔΙΟΤΙ. — 20 sq. ἀναδείκνυντι: cf. Ahrens Dial. II 312.

---

123 [= 55].

Ἰστρωνίων. |

Ἔδοξεν Ἰστρωνίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπει|δὴ Τήιοι φίλοι καὶ συγγενεῖς ὑπαρχόντες διὰ προ|γόνων τᾷ πόλει ψάφισμα καὶ πρεσβευτὰς ἀπε||στάλκαν, Ἀπολλόδοτον καὶ Κωλώταν, οἳ ἐπελθόν|τες ἐπὶ τὸ κοινὸν τὸ Ἰστρωνίων τό τε ψάφισμα ἀπε|δώκαν καὶ αὐτοὶ διελέγην ἀκολούθως τοῖς γε|γραμμένοις, τὰν ἐκτενεστάταν σπουδὰν καὶ | φιλοτιμίαν ποιουμένοι περὶ τοῦ γενέσθαι τὰν κα|θιέρωσιν τῶ Διονύσω τᾶς τε πόλιος καὶ τᾶς χώρας | τᾶς Τηίων καὶ τὰν ἀσυλίαν, ἔτι δὲ καὶ τἆλλα τὰ ὑπάρ|χοντα αὐτοῖς ἔνδοξα καὶ τίμια διὰ τὸν θεὸν ψαφισα|μένους καὶ αὐτοὺς συναύξειν καὶ ἀεί τινος ἀγαθοῦ | παραιτίους γινέσθαι τῷ δάμῳ, καὶ ὅτι ταῦτα ποιη||σάντες ἀκόλουθα πραξίομεν τᾷ τε πορτὶ (τὸ) θεῖον | εὐσε-

βεία καὶ τὰ μέγιστα χαριξιόμεθα τῷ δάμῳ· | περὶ δὲ τῶν αὐτῶν διαλεγέντος μετὰ πάσας σπου|δᾶς καὶ προθυμίας καὶ [τοῦ ἀποσταλέν]τος (παρὰ) βασιλέως Φι|λίππου πρεσβευτᾶ· Περδίκκα· · ἀποκρινάσθαι τῷ || δάμῳ τῷ Τηΐων, ὅτι πρότερόν τε ἁ πόλις διακειμένα φιλικῶς καὶ εὐνόως ποτὶ τὸ πλᾶθος τὸ | Τηΐων ἔν τε τοῖς ὑπεράνω χρόνοις οὐδενὸς | ἀπέστα τῶν συμφερόντων, καὶ νῦν δέ, καθὸ|τι παρακαλεῖ ὁ δᾶμος ὁ Τηΐων καὶ Περδίκκας ὁ || πολίτας αὐτῶν, προαιρουμένοι οὖν ἐμ πᾶσιν | εὐχαριστεῖν καὶ μεμναμένοι τὰς προυπαρχού|σας ταῖς πόλεσι συγγενείας, τάν τε καθιέρω|σιν τῷ Διονύσῳ τᾶς τε πόλιος καὶ τᾶς χώρας | ὑμῶν, ἔτι δὲ ἱερὰν καὶ ἄσυλον εἶναι, βουλομένοι || χαριζέσθαι Περδίκκᾳ, δίδομεν, καὶ τὰ λοιπὰ τὰ | ὑπάρχοντα ὑμὶν ἔνδοξα καὶ τίμια συνδιαφυλα|ξίομεν ἀπροφασίστως, ἐφ' ὅσον κ' ἔωμεν δυνατοί. | Εἰ δέ τινές κα τῶν ὁρμιομένων ἐξ Ἰστρῶνος ἀδι|κήσωντί τινα Τηΐων ἢ κοινᾷ ἢ ἰδίᾳ παρὰ τὸ γραφὲν || δόγμα περὶ τὰς ἀσυλίας ὑπὸ τᾶς πόλιος τᾶς | Ἰστρωνίων, ἐξέστω τῷ παραγενομένῳ Τηΐων | ἐπιλαβέσθαι καὶ τῶν σωμάτων καὶ χρήματα εἴ | τίς κα ἄγῃ, οἱ δὲ κόσμοι οἱ τόκα ἀεὶ κοσμοῦντες ἐ|παναγκαζόντων ἀποδιδόμεν τοὺς ἐχόντας || ἀζαμίοι ὄντες καὶ ἀνυποδίκοι. Ἀναγράψαι δὲ καὶ | τὸ δόγμα εἰς τὸ ἱερὸν τὸ τᾶς Ἀθάνας τᾶς Πολι|άδος τοὺς γραμματέας τᾶς πόλιος.

IGA. 3048. Le Bas Voy. arch. III n. 70 (= Explic. p. 35).
17 ΓΑΣΗΣ. — 19 I litera bis deleta. — 25 ΓΟΛΙΤΗΣ. — 29 εἶναι: forma Ionica; cf. p. 80. — 40 ΑΞΗΜΙΟΙ.

124 [= 51].

Κυδωνιατᾶν. |

Κυδωνιατᾶν ἁ πόλις καὶ οἱ ἀρχόντες Τηΐων τᾷ βωλ[ᾷ] | καὶ τῷ δάμῳ χαίρειν. Ἐπειδὴ [Τηΐ]οι φίλοι καὶ συγγενεῖς | ὑπαρχόντες διὰ προγόνων τᾷ πόλει ψάφισμα καὶ πρεσ||βευτὰς ἀπεστάλκαντι Ἀπολλόδοτον καὶ Κωλώταν, οἳ | ἐπελθόντες ἐπὶ τὰν ἐκκλησίαν τό τε ψάφισμα (ἀ)πεδώ|καν καὶ αὐτοὶ διελέγην ἀκολούθως τοῖς γεγραμμένοις | τὰν ἐκτενεστάταν σπουδὰν καὶ φιλοτιμίαν ποιιομέ|νοι περὶ τῶ γενέσθαι τὰν καθιάρωσιν τῷ Διονύσῳ τᾶς | τε πόλιος καὶ τᾶς χώρας τᾶς Τηΐων καὶ τὰν ἀσυλίαν, ἔτι | δὲ καὶ τἆλλα τὰ ὑπάρχοντα αὐτοῖς

ἔνδοξα καὶ τίμια εἰς | τὸν θεὸν ψαφιξαμένος καὶ αὐτὸς συναύξεν καὶ αἰεί τι|νος ἀγαθῶ παραιτίος γενέσθαι τῷ δάμῳ, καὶ ὅτι ταῦτα | ποιησάντες ἀκόλουθα πραξόμεν τᾷ τε || [συγγενείᾳ καὶ τᾷ] ποτὶ τὸ θεῖον εὐσεβείᾳ καὶ τὰ μέγιστα χαρι[ξόμεθα τῷ] | δάμῳ· ἀποκρινάσθαι Τηΐοις φίλοις καὶ οἰκεί[οις οὖσιν], | ὅτι τὸν Διόνυσον καὶ αὐτοὶ σεβόμεθα καὶ τὸν Τηΐω[ν δᾶμον] | συγγενέα ὄντα ἀσπαζόμεθα καὶ ἐπαινῶμεν, δ[ι]ό[τ]ι [κα]|λῶς καὶ ἐνδόξως καὶ καταξίως τῶ* θεῶ* προεστάκαντι· || ἕνεκα ὧν καὶ παρ' ἁμῶν τὰ καλὰ καὶ τίμια διδόται τῷ θεῷ, | καὶ Τηΐων τάν τε πόλιν καὶ τὰν χώραν ἀνίεμεν ἱερὰν καὶ | ἄσυλον νῦν τε καὶ εἰς τὸν ἄλλον χρόνον πάντα καὶ πει[ρα]σώμεθα αἰεί τινος ἀγαθῶ παραιτίοι γινέσθαι τῷ δάμῳ | καὶ κοινᾷ καὶ ἰδίᾳ. Εἰ κά * τινες ἄγωντι Τηΐος ἢ τὸς κατοικόν|τας παρ' αὐτοῖς, οἱ κόσμοι καὶ ἄλλος ὁ λῶν Κυδωνια τὰν ἢ Τηΐων ἀφελομένοι καὶ διδόντες τοῖς ἀδικη|μένοις κυρίοι ἐστώσαν. Ἔρρωσθε.

Le Bas Voy. arch. III n. 64 (= Explic. p. 30). Duo primi versus editi sunt iam CIG. 3055.

19 I litera bis deleta. — 24 I litera deleta. — 25 ὁ λῶν: ὅλων Waddington apud Lebasium.

---

125 [= 59].

Λατίων τῶν πρὸς Καμάρᾳ. |

Ἔδοξεν Λατίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπει|δὴ Τήϊοι συγγενεῖς καὶ φίλοι διὰ προγόνων ὑπαρ|χόντες ψάφισμα καὶ πρειγευτὰς ἀπεστάλκαν Ἀ|πολλόδοτον καὶ Κωλώταν, οἱ δὲ ἐπελθόντες ἐπὶ τὸ | κοινὸν τὸ Λατίων τό τε ψάφισμα ἀπεδώκαν καὶ αὐ|τοὶ διελέγεν ἀκολούθως τοῖς γεγραμμένοις τὰν | ἐκτενεστάταν σπουδὰν καὶ φιλοτιμίαν ποιου|μένοι περὶ τῶ γενέσθαι τὰν καθιέρωσιν τῷ Διονύ|σῳ τᾶς πόλιος καὶ τᾶς χώρας τᾶς Τηΐων καὶ τὰν | ἀσυλίαν, ἔτι δὲ καὶ τἆλλα τὰ ὑπάρχοντα αὐτοῖς | ἔνδοξα καὶ τίμια διὰ τὸν θεὸν ψαφισαμένος | καὶ αὐτὸς συναύξεν καὶ ἀεί τινος ἀγαθῶ πα|ραιτίος γινέσθαι τῷ δάμῳ, καὶ ὅτι ταῦτα πραξάν|τες ἀκόλουθα πραξίομεν τᾷ τε πορτὶ τὸν θεὸν | εὐσεβείᾳ τᾷ μεγίστᾳ καὶ χαριξιόμεθα τῷ δά|μῳ· περὶ δὲ τῶν αὐτῶν διαλεγέντος μετὰ πάσας | εὐνοίας καὶ προθυμίας καὶ (τῶ) παρὰ τῶ βασιλέος

Φιλίπ|πω πρειγευτᾶ Περδίκκα* · ἀποκρινάσθαι τῷ δά|μῳ τῷ Τηΐων, ὅτι πρότερον ἁ πόλις καὶ νῦν δὲ | πᾶσιν εὐχαριστεῖ, καὶ μεμναμένοι τὰν προυπάρ|χονσαν τᾷ πόλει συγγένειαν τάν τε καθιέρω|σιν τῷ Διονύσῳ τάν τε πόλιν καὶ τὰν χώραν ἦμεν | ἱερὰν καὶ ἄσυλον βωλομένοι χαριζέσθαι Περδίκ‖κᾳ δίδομεν, καὶ τὰ λοιπὰ τὰ ὑπάρχοντα ὑμὶν ἔνδο|ξα καὶ τίμια συνδιαφυλαξίομεν ἀπροφασίστως, | ἐφ' ὅσον κ' ἴωμεν δυνατοί. Καὶ εἴ τινές κα τῶν ὁρ|μιομένων Λατόθεν ἀδικήσωντί τινα Τήϊον | ἢ κοινᾷ ἢ ἰδίᾳ παρὰ τὸ γραφὲν δόγμα περὶ τᾶς ἀ‖συλίας τᾶς πόλιος καὶ τᾶς χώρας, ἐξέστω τῷ | παργενομένῳ Τηΐων ἐπιλαβομένῳ καὶ σω|μάτων καὶ χρημάτων, εἴ τίς κα ἄγῃ · οἱ δὲ κόσμοι | οἱ τόκα κοσμιόντες ἀναγκαζόντων ἀποδιδό|μεν τὸς ἐχόντας ἀζαμίοι ὄντες καὶ ἀνυποδίκοι. ‖ Γράψαι δὲ καὶ τὸ δόγμα ἐς τὸ ἱερὸν τᾶς Ἐλευθυίας.

Le Bas Voy. arch. III n. 74 (= Explic. p. 36).

4 **ΓΡΕΙΓΕΥΤΑΝ**. — 5 **ΔΙ**, cf. CIG. 3058, 5. — 16 **ΧΑΡΙΖΙΟΜΕΘΑ**. — 19 I litera deleta.

---

126 [= 49].

Πολυρρηνίων. |

Πολυρρηνίων οἱ κόσμοι καὶ ἁ πόλις Τηΐων τῷ δάμῳ | καὶ τᾷ βωλᾷ χαίρειν. Κομισαμένοι τὸ ψάφισμα τὸ παρ' | ὑμῶν ἀνέγνωμεν, καὶ τῶν πρεσβευτᾶν Ἀπολλοδό‖τω* καὶ Κωλώτα* διακούσαμεν παρακαλούντων μετὰ | πάνσας σπουδᾶς καὶ φιλοτιμίας ἀκολούθως τοῖς ἐν τῷ | ψαφίσματι κατακεχωρισμένοις· περὶ δὴ τούτων δεδό|χθαι Πολυρρηνίων τοῖς κόσμοις καὶ τᾷ πόλει ἀποκρινάσ|θαι Τηΐοις, διότι τὸν Διόνυσον καὶ αὐτοὶ σεβόμεθα καὶ διδό‖ται τῷ θεῷ [παρ' ἁ]μῶν τάν τε πόλιν καὶ τὰν χώραν ἀνιέμεν | ἱερὰν καὶ ἄσυλον νῦν τε καὶ εἰς τὸν ἅπαντα χρόνον· ἦμεν δὲ | καὶ [παροίκοις τ]οῖς ἐν Τέῳ ἀσφάλειαν καὶ κατὰ γᾶν καὶ κατὰ | [θάλασσ]αν ε[ἰς] τὸν ἅπαντα χρόνον. Ἔρρωσθε.

Le Bas Voy. arch. III n. 62 (= Explic. p. 30). Quinque primi versus iam editi sunt CIG. 3054.

5 I litera bis deleta. — 12 [παροίκοις τ]οῖς: Le Bas supplevit [πάνσι τ]οῖς; sed cf. n. 124, 24 sq. et CIG. 3049, 20.

127 [= 50].

Ῥαυκίων. |

Ἔδοξεν Ῥαυκίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπειδὴ παραγε|νομένοι πρεσβευταὶ παρὰ τῶ δάμω* τῶ Τηΐων πορτὶ Ῥω|κίονς, Ἀπολλόδοτος Ἀστυάνακτος, Κωλώτας Ἑκατωνύμου, || ἐπελθ*όντες ἐπὶ τὰν ἐκκλησίαν ἐνεφανίξαν τάν τε | οἰκειότατα τὰν ὑπάρχονσαν Ῥαυκίοις ποθ' αὐτὸνς | καὶ περὶ τᾶς ἀσυλίας τᾶς τε πόλεος καὶ τᾶς χώρας πα ρεκαλέσαν, ἔτι δὲ καὶ τῶ παρ' Ἀντιόχω τῶ βασιλέος πρει|γευτᾶ Ἀγησάνδρω παρακαλέσαντος μετὰ πάνσ*ας || σπουδᾶ[ς] καὶ φιλοτιμία[ς], ὁμοίως δὲ καὶ τῶν παρ' ἁμῶν | πρεισγευτᾶν ἐμφανιξάντων τὰν ὑμ[ῶ]ν εὔνοι[αν κ]αὶ | προθυμίαν· δεδόχθαι Ῥαυκίων τοῖς [κόσμοι]ς [καὶ τᾷ] πό λει ἀποκρινάσθαι Τ[η]ίοι[ς], ὅτι ἅ τε καθ[ιέρωσι]ς [τῷ Δι]ονύ|σῳ τᾶς πόλεος καὶ τᾶς χώρας αὐτοῖς ἅ τε ἀσυλία καὶ || τἆλλα ἔνδοξα καὶ τίμια παρ' [ἁμῶν ἔσται] | νῦν τε καὶ τὸν ἄλλον χρόνον πάντα.

CIG. 3051. Le Bas Voy. arch. III n. 63 (= Explic. p. 30).

3 I litera deleta. — 5 **ΕΓΕΛΘΙΟΝΤΕΝ**. — 9 **ΓΑΝΣΣΑΝ**. — 10 ἁμῶν: Boekh scripsit παρὰ [Τηΐων].

---

128 [= 60].

Ἀπτεραίων. |

Ἀπτεραίων οἱ κόσμοι καὶ ἁ πόλις Τη|ίων τᾷ βωλᾷ καὶ τῷ δάμῳ χαίρειν. Παραγενομένοι οἱ παρ' ὑμέων πρεγγευ||ταί, Ἡρόδοτος Μηνοδότω Μενεκλῆς | Διονυσίω, τό τε ψάφισμα ἀπεδώ|καν, ἐν ᾧ ἐγράψατε ἀνανεωσάσθαι | τάν τε συγγένειαν καὶ τὰν πρου|πάρχωσαν φιλίαν τά τε δεδομένα || τίμια ὑπὸ τᾶς ἁμᾶς πόλεως ἐν τοῖς | πρότερον χρόνοις καὶ τὰν καθιέρωσιν | τᾶς πόλιος καὶ τᾶς χώρας τῷ Διονύ|σῳ, παρεκαλεῖτε δὲ καὶ ἀναγράψαι | τὸ πρότερον δόγμα ἐν ὁποίῳ κα κρί||νωμεν ἱερῷ. διελέγην δὲ καὶ οἱ παρ' ὑ μῶν πρεγγευταὶ ἀκολούθως τοῖς ἐν | τῷ ψαφίσματι, ἀποφαινόντες τάν | τε πόλιν εὐσεβῶς διακειμέναν | πρὸς πάντας τὸς θεός, μάλιστα δὲ || πρὸς τὸν Διόνυσον ὄντα (ἀ)ρχαγέταν | τᾶς πόλεως, ᾧ καὶ καθιερῶσθαι συν|βέβακε τάν τε πόλιν καὶ τὰν χώραν, | ὑπέρ τε τῶν λοιπῶν πᾶσαν σπου|δὰν καὶ φιλοτιμίαν ποτα-

γόντες δι[ε]λέγγην· διὸ καὶ δεδόχθαι ἀποκρινάσθαι | τῷ δάμῳ τῷ Ἀπτεραίων Τηΐοις | οὖσιν συγγενέσι καὶ φίλοις, διό|τι ἔν τε τοῖς πρότερον χρόνοις τυγ|χάνομεν εὐσεβῶς διακειμένοι πο|τὶ πάντας τὸς θεός θ' ἁμῶν | καὶ τὸν Διόνυσον, δι' ὃν καὶ πρότερον τάν | τε ἀσυλίαν ὑμὶν ἐδώκαμεν καὶ καθι|ερώσαμεν τὰν χώραν καὶ τὰν πόλιν, | τετηρηκότες δὲ τὰ προδεδομένα ὑ|μὶν φιλάνθρωπα μέχρι τοῦ νῦν πειρα|ξόμεν καὶ εἰς τὸν λοιπὸν χρόνον | διαφυλάσσειν ἀνανεωσαμένοι ἃ | παρεκαλεῖτε διὰ τοῦ ψαφίσματος, καὶ | οὐκ ἀδικέομεν Τηΐος συγγενέας || καὶ φίλος ὑπαρχόντας οὔτε πολέμου | οὔτ' εἰράνας καθότι οὔτε πρότερον. | Πειραξόμεν δὲ καί, ἐάν τινες ἀδικῶν|τι Τηΐος ἢ κατὰ κοινὸν ἢ κατ' ἰδίαν ἢ κα|τὰ γᾶν ἢ κατὰ θάλασσαν ἐόντας ἱα|ρὸς καὶ ἀσύλος, βοαθεῖν αὐτοῖς καθότι | ἂν ὦμεν δυνατοί. Καὶ ἐάν τινες ὁρμι|ομένοι ἐξ Ἀπτέρας ἀδικήσωντι Τη|ΐος, εἶναι αὐτὸς ἐνόχος τῷ τᾶς ἱερο|συλίας νόμῳ. Ἀγγραψατώσαν δὲ καὶ || Τήϊοι τὰν ἀνανέωσιν ἐς τὸ ἱερὸν | τῶ Διονύσω, ὅπως φανερὰ ᾖ πᾶσι τοῖς | Ἕλλασι ἁ τῶν Ἀπτεραίων εὐσέβεια | πρὸς πάντας τὸς θεός. Ἀναγραψῶμεν | δὲ καὶ ἁμὲς τό τε πρότερον δόγμα || καὶ τὰν ἀνανέωσιν ἐς τὸ ἱερὸν τὸ | τᾶς Ἀρτέμιδος τᾶς Ἀπτέρας. Ἐκαλέσα|μεν δὲ καὶ ἐπὶ ξένια τοὺς πρεγγευτὰς | [τῶν Τηΐων ἐπὶ τὰ]ν κοινὰν ἑ[στίαν]. Ἔρρωσθε.

Le Bas Voy. arch. III n. 75 (= Explic. p. 37).

45 **ΑΝ**: quod scripsi, dubium est propter v. 6. — 30 **ΗΜΩΝ**. — 37 **ΑΝΕΝΕΩΣΑΜΕΝΟΙ**. — 48 εἶναι: forma Ionica. — **ΤΗΣ**. — 52 **ΕΛΛΗΣΙΗ**. — 54 **ΑΜΕΝ**.

---

129 [= 64].

Κνωσίων. |

Ἔδοξε Κνωσίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπει|δὴ Ἡρόδοτος Μηνοδότω καὶ Μενεκλῆς Διονυσίω | ἀποσταλθέντες πρεγγευταὶ πὰρ Τηΐων ποτὶ || τὰς ἐν Κρήτᾳ πολίας καὶ διατριψάντες τὸν πλεῖσ|τον χρόνον ἐν τᾷ ἁμᾷ πόλει οὐ μόνον τὰν ἀπὸ τᾶς | ἀναστροφᾶς εὐταξίαν ἀπεδείξαντο, ἀλλὰ καὶ ἐπε|δείξατο Μενεκλῆς μετὰ κιθάρας πλεονάκις τά τε | Τιμοθέω καὶ Πολυΐδω καὶ τῶν ἁμῶν ἀρχαίων ποι|ητᾶν καλῶς καὶ ὡς προσῆκεν ἀνδρὶ πεπαιδευμέ|νῳ· ὅπᾳ ὦν ἴσαντι Τήϊοι,

ὅτι ἁ πόλις ἀποδεδέκται | τὸς τοιούτος τῶν ἀνδρῶν, δεδόχθαι ἐπαινέσαι | τάν τε τῶν Τηΐων πόλιν ἐπὶ τῷ τοιούτος ἄνδρας | πέμψαι, ὁμοίως δὲ καὶ τὸς πρεγγευτάς, Ἡρόδοτον || καὶ Μενεκλῆν, ὅτι καλῶς καὶ εὐτάκτως ἐνδεδα|μήκαντι· τὸς δὲ κόσμος δόμεν ἀντίγραφον τῶδε | τῶ ψαφίσματος σφραγιξάντας τᾷ δαμοσίᾳ σφρα|γῖδι ἀποκομίσαι Ἡροδότῳ καὶ Μενεκλεῖ πρὸς Τηΐος, | ἵν' ἐπιγνῶντι καὶ αἰεί ποκα πρόνοιαν ποιῶνται τῶν || τοιούτων ἀνδρῶν.

CIG. 3053. Le Bas Voy. arch. III n. 84 (= Explic. p. 39).
5 ΔΙΑΤΡΙΨΑΝΤΕΝ.

---

4. Alii tituli Cretici.

130 Apterae in muro non antiquo.

Ἔδοξε [τᾷ] βουλᾷ καὶ τῷ δ[άμῳ· ὁ δεῖνα εἶπεν]· | ἐπειδὴ ὁ βασιλεὺς Ἄτταλος φίλος [ὑπάρχων διὰ προ]|γόνων πρόνοιαν ποῆται περὶ τῶ κοιν[ῶ τῶν Κρητῶν] | καὶ ἰδίᾳ τὰς τῶν Ἀπταραίων πόλιος καὶ τοῖς [παραγε]|νομένοις ποτ' αὐτὸν τὰμ πᾶσαν φιλανθρωπίαν ἐνδ[ει]|κνύται, δεδόχθαι τᾷ βωλᾷ καὶ τῷ δάμῳ· στεφανῶσ[αι] | βασιλέα Ἄτταλον εἰκόνι χαλκέᾳ τελείᾳ, εἴτε κα [δη]|λῆται πεζόν, εἴτε κα ἐφ' ἵππῳ, ᾇ κα προαιρῆται· χαρυ|χθῆμεν ἔν τινι τῶν ἀγώνων τῶν στεφανιτῶν· ἐπιμ[ε]|λὲς γενέσθω τοῖς κόσμοις, ὅπως χαρυχθῇ· ἦμεν δὲ αὐτ[ῷ] | καὶ προεδρίαν καὶ ἀσυλίαν καὶ ἀτέλειαν καὶ ἀσφάλειαν καὶ π[ο]|λέμω καὶ εἰρήνας καὶ ἐν πόλι καὶ ἐν τοῖς λιμένοις καὶ ξενολο[γ]|ῆσθαι καὶ ὁρμιζέσθαι καὶ αὐτῷ καὶ ἐκγόνοις καὶ τὰ λοιπὰ ὑ[π]|άρχειν ὅσα κα τοῖς ἄλλοις εὐεργέταις.

Haussoullier, Bull. Corr. Hell. III (1879) p. 425 sqq. n. 2 *b*. — Attalum II, qui regnavit aa. 159—138, intellegendum esse putat.

8 ΛΙΙΤΑΙ. — 12 λιμένοις, 13 sq. ὑ[π]άρχειν: formae non Creticae.

131 Apterae, in muro non antiquo.

Ἀγαθᾷ τύχᾳ. Ἔδοξε τ[ᾷ β]ωλᾷ | καὶ τῷ δάμῳ· Κλησθ[ένη]ς Σώ|σω εἶπε· Ἀντίοχον καὶ Ἀγαθοκλ|ῆν Σωσιγένεος Ἱεροπολίτας || προξένος ἦμεν αὐτὸς καὶ | ἔγγονα, ὑπάρχεν δὲ αὐτοῖς καὶ | ἰσοπολιτείαν καὶ γᾶς καὶ οἰκίας | ἔνκτησιν καὶ ἀτέλειαν εἰσ|άγωσι καὶ ἐξάγωσι καὶ κατὰ || γᾶν καὶ κατὰ θάλασσαν καὶ ἐν | πολέμω καὶ ἐν εἰρήνα ἀσυλὶ καὶ | ἀσπονδί.

CIG. 2558. Haussoullier, Bull. Corr. Hell. III (1879) p. 431 n. 5. — Titulus videtur esse medii fere seculi a. Chr. n. secundi.

132 Deli, in muro prope templum Apollinis.

Ἔδοξεν Κνωσίων τοῖς κόσμοις καὶ τᾷ πόλι. Ἐπειδὴ | Διοσκουρίδης Διοσκουρίδου καθ' ὑοθεσίαν δὲ Ἀσκλη|πιοδώρου Ταρσεὺς γραμματικὸς διὰ τὰν εὔνοιαν ἃν | ἔχει πορτὶ τὰν ἁμὰν πόλιν συνταξάμενος ἐγκώ|μιον κατὰ τῶν ποιητᾶν ὑπὲρ τῶ ἁμῶ ἔθνιος ἀπήστελ|κε Μύρινον Διονυσίω Ἀμισηνὸν ποιητὰν ἐπῶν καὶ με|λῶν τὸν αὐτὸς αὐτῶ μαθητάν, διαθησιόμενον τὰ | πεπραγματευμένα ὑπ' αὐτῶ· ὑπὲρ ὧμ Μύρινος πα|ραγενόμενος παρ' ἁμὲ καὶ ἐπελθὼν ἐπί τε τὸς κόσμος || καὶ τὰν ἐκκλησίαν ἐμφανία κατέστασε διὰ τᾶν ἀκρο|α[σίω]ν τὰν τῶ ἀνδρὸς φιλοπονίαν τάν τε περὶ τὸ | ἐπιτάδουμα εὐεξίαν, ὁμοίως δὲ καὶ τὰν εὔνοιαν ἃν | ἔχει πορτὶ τὰν πόλιν, ἀνανεώμενος αὔτως τὰν προγο|νικὰν ἀρετάν, δι' ἐγγράφω ἐπ[έ]δει]ξε, καὶ τοῦτο πε|δὰ πλίονος σπουδᾶς καὶ φιλοτ[ιμί]ας τὸν ἀπολογισ|μὸν ποιιόμενος, καθὼς ἐπέβαλλ[ε], ὑπὲρ ἰδίω παιδε[υ]|τᾶ· ἐφ' ὧν καὶ τὸ πλῆθος τῶν πολιτᾶν, ἀκούσαντες | τὰ πεπραγματευμένα καὶ τὰν [ἄ]λ|λαν αἵρεσιν τῶ ἀν|δρὸς ἃν ἔχων τυγχάνει εἰς τὰν ἁμὰν πόλιν, ἀπεδέ||ξατο μεγάλως· ὅπᾳ ὦν καὶ ἁ πόλις τῶν Κνωσίων | φαινήται εὐχάριστος ἰόνσα καὶ τὸς καλὸς κἀγα|θὸς τῶν ἀνδρῶν ἀποδεχομένα καὶ τιμίονσα | τάς τε καταξίανς χαρίτανς ἀπιδιδόνσα τοῖς | εὐεργετῆν αὐτὰν προαιριομένοις καὶ φανερὰν || καθιστάνσα ἐς πάντας ἀνθρώπος, ὅσαν ἔχει διά|λαμψιν ὑπὲρ τῶν εὐνόως διακειμένων πορ|τ' αὐτάν· δεδόχθαι τᾷ πόλι· ἐπαινέσαι Διοσκουρί|δην Διοσκουρίδου καθ' ὑοθεσίαν δὲ Ἀσκληπι|οδώρου ἐπὶ τοῖς πεπραγματευμένοις ὑπ' αὐτῶ || καὶ τᾷ προαιρέσει ἃν ἔχων τυγχάνει ἐς τὰν | ἁμὰν πόλιν. Ἦμεν δὲ αὐτὸν καὶ πρό-

ξενον | καὶ πολίταν τᾶς ἁμᾶς πόλεος, αὐτὸν καὶ ἐσγό|νος, καὶ πεδέχεν θίνων καὶ ἀνθρωπίνων | πάντων ὧν καὶ αὐτοὶ Κνωσίοι πεδέχοντι· || ἦμεν δὲ αὐτοῖς καὶ ἔγκτησιν γᾶς καὶ οἰκίας καὶ | ἀσφάλειαν πολέμω καὶ εἰρήνας καὶ καταπλέον|σι ἐς τὸς Κνωσίων λιμένας καὶ ἐκπλέονσι, αὐ|τοῖς καὶ χρήμασι τοῖς τούτων ἀσυλεὶ καὶ ἀσπον|δεί. Ὅπᾳ δὲ καὶ τοῖς ἐπιγινομένοις ἀείμνασ||τος ὑπάρχῃ ἁ τᾶς πόλεος ἐκτενὴς προαίρεσις | καὶ φανερὰ ᾖ ἁ εὔνοια τοῖς γνησίως καὶ ἐνδόξως | τῶν καλλίστων ἐπιταδουμάτων προεστακόσι | καὶ τοῖς πορτ' αὐτὰν εὔνοιαν αὔξεν προαιριο|μένοις, ἀναγράψαι τόδε τὸ ψάφισμα ἐς στάλαν || λιθίναν καὶ ἀνθέμεν ἐς τὸ ἱερὸν τῶ Ἀπέλ|λωνος τῶ Δελφιδίω. Αἰτησάθθαι δὲ καὶ τόπον | Ἀθηναίων τὸνς ἐν Δάλοι κατοικιόντας καὶ θέ|μεν ἐν τῷ ἱερῷ τῶ Ἀπέλλωνος sic λαβόντας τὸν | ἐπιφανέστατον τόπον· γράψαι δὲ περὶ τούτων || τὰμ πόλιν πορτὶ Ἀθηναίος τὸς ἐν Δάλοι κατοι|κιόντας καὶ πορτὶ τὸν Ταρσέων δᾶμον, ὑποτα|ξάντας τὸ ἀντίγραφον τῶδε τῶ ψαφίσματος. | Αἱρέθη ἐπὶ τᾶς ἀναθέσιος τᾶς στάλας | Μακκιάδων Θαρ ρ|υμάχω καὶ Λεόντιος Κλυμενίδα.

Homolle, Bull. Corr. Hell. IV (1880) p. 352 sqq. — Titulum ea aetate scriptum esse, qua Athenienses Deli imperium tenebant, intellegitur ex vv. 46 sqq. Huius autem aetatis annum 166 initium fuisse narrat Polybius 30, 21. Cf. U. Koehler, Mitteil. arch. Inst. I p. 265.

2 Διοσκουρίδης Διοσκουρίδου, — Ἀσκληπιοδώρου: noli mirari formas non Creticas in nominibus virorum non Cretensium. — 5 **ΤΟΝ**. — ἀπήστελκε: fortasse non errore lapicidae; cf. παρείσχηται n°. 180, 7 et Blass Ausspr. p. 30. — 7 **ΜΑΘΕΤΑΝ**. — 16 **ΓΟΡΙΟΜΕΝΟΣΚΛΟΩΣ**. — 17 **ΑΚΟΥΣΑΝΤΕΝ**. — 35 **ΟΣΚΙΑΣ**, quod defendi posse putat Homolle. — 51 **ΤΑΡΣΕΟΝ**.

VII. Tituli Melii et Theraei cum Cyrenaicis.

Melii et Theraei in eo consentiunt, quod duo signa habent *o* vocalis, quorum alterum ω longum alterum o breve et ου monophthongum significat. Nam in antiquissimis titulis Theraeis

saepe ω per ⊙, ο et ου per O scripta sunt. Meliorum tituli sepulcrales sexti seculi O habent signum ω longi, C signum ο brevis et ου diphthongi adulterinae. Sed in duobus titulis antiquissimis Meliis O promiscue adhibitum est pro ο longo et brevi. Quaerendum igitur videtur, utrum in his titulis -ου terminatio genitivi sing. 2. decl. sit, sicut in posterioribus (135, 7. 136, 1. 5. 137, 2. 138), an -ω. Si quis -ω praetulerit, argumentis uti possit, quod et Lacones, quorum coloni civitates Meliorum et Theraeorum condidisse feruntur (Thucyd. V 84. Herodot. IV 147), -ω pronuntiaverunt, et Cyrenaei, quorum oppidum a Theraeis conditum erat (Herod. IV 156), etiam satis recenti aetate ω pro ου retinuerunt, et quod semel O (i. e. ω) scriptum videtur in uno ex titulis Meliis 135, 5. Tamen veri parum simile est intra seculum sextum consuetudinem ω pronuntiandi in ου mutatam esse. Itaque rem in ambiguo reliqui.

1. Tituli Melii.

133 [= 66]. Inscriptio columnae, quae ex insula Melo in museum Nanianum illata est.

Παῖ Διός, Ἐκπάντῳ δέχσαι τόδ' ἀμενπὲς ἄγαλμα·
Σοὶ γὰρ ἐπευχὄμενος τοῦτ' ἐτέλεσσε γρόπόν.

CIG. 3. IGA. 412. — Epigramma priori parti seculi a. Chr. sexti tribuit Kirchhoff Alph.[3] 54. 61.

2 γρόπόν: ο in stirpe huius verbi est etiam n. 120 et in alio titulo Cretensi (Bergmann, De inscr. Cret. ined. Berolini 1860, v. 55: ἀπόγροφον) et in tabula Heracleensi n. 40, 84: ἀνεπιγρόφως.

---

134 Fragmentum columnae Olympiae repertum.

Θρασυμάχο παῖδες τὸ Μαλίο . . . .
τῷ Δὶ Δᾴαλκος καὶ ⏑⏑– με [ἀνέθεν].
Γρόφον ἐποίε Μάλιος Καβ[ειροχλ?]ῆς.

Kirchhoff Arch. Zeit. 36 (1878) p. 143 n. 192. Roehl IGA. 12. — Monumentum ineunti seculo quinto inferius esse posse negat Kirchhoff.

---

135 Tituli sepulcrales sexti a. Chr. seculi.

1 Ἀρχι|φ Ἀγ|αθοκ|λέος. — IGA. 415.

2 Δαμοχρέων | ἀνέθηκε. — IGA. 420. sic

3 Εὔδ|αμος Λά|μπω νος. — IGA. 423.

4 Ἐχετ|ίμα | Λυσ|ι.... — IGA. 422.

5 Θεο[ν]|νὼ Λα|τίμ|ω. — IGA. 416.

6 Ὀρθ|όλα | Λυκ|όφρ|ονος. — IGA. 417. — v. 1: C•O.

7 Σμί θων | Ἀνδ ραπό|μπο(υ). — IGA. 413.

8 Τυχα|ρέτα | Βρου|κίων|ος. — IGA. 414.

De aetate horum titulorum cf. Kirchhoff Alph.³ 54. 61.

---

136 Tituli sepulcrales seculi a. Chr. quinti.

1 Δαμ|αγό|ρα Τ|εμβ|ριά|ο(υ). — IGA. 429.

2 Ε[ὐ]ερ|γέτα|ς Ἀλε|ξιπό|λ|ιος. — IGA. 431. — v. 1: EιꝆF.

3 Μέλ|ιππ|ος Ε|ὐχέ|λα. — IGA. 430.

4 .....πο|[ς] Πα|νυκρ|άτεο[ς]. — IGA. 427.

5 — — Προδ|άμο(υ). — IGA. 435.

6 Φαί[[ν]ων | [Σ]ωσ[ι]κλέ[ος]. — IGA. 424.

De aetate horum titulorum cf. Kirchhoff Alph.³ 61 sq.

---

137 Tituli sepulcrales fine belli Peloponnesiaci paulo inferiores.

1 Ἀκουσα|γόρας | Στρόμβιος. — CIG. 2436 *b*. Kirchhoff Alph.³ p. 58, n. IV, 6.

2 Ἀνδ|ροπει|ίθης | Κυδ|ίμο(υ). — Rangabé Ant. Hell. 2232. Kirchhoff l. l. n. IV, 3.

3 Σωκλείδας Κόπριος. — Weil Mitteil. arch. Inst. I p. 248 n. 9. Kirchhoff l. l. n. IV, 7.

4 [Σ]ωσικ[ρ]άτης | [Ν]αυβωλίδα. — Ross Inscr. Gr. ined. n. 232. Kirchhoff l. l. n. IV, 1.

De aetate horum titulorum cf. Kirchhoff l. l. p. 61 sq.

---

138 Meli in basi statuae.

Θεοδωρίδας Λαϊστράτο(υ)
Ποσειδᾶνι.

Tissot, Bull. Corr. Hell. II (1878) p. 522 n. 1. — Titulus est quarti a. Chr. seculi.

---

139 Tabula marmorea Meli reperta.

Ἐπιάναξ Ἀγησιμένου | τὰν αὐτοῦ γυ|-
ναῖκα | καὶ Ὀνόμαρχος Ἐπιάνα|κτος τὰν
ματέρα Θεύκλει||αν Ἀσκλαπιῷ καὶ Ὑγείᾳ.

Bull. Corr. Hell. III (1879) p. 256. — Formae literarum sunt aetatis Romanae.

---

140 Palaeopoli in insula Melo.

Ὁ δᾶμος ὁ Μαλίων ἐτείμασεν | τὰν Ῥώ-
μαν εἰκόνι χαλκέᾳ | καὶ στεφάνῳ χρυσέῳ |
ἀρετᾶς ἕνεκεν καὶ εὐερ||γεσίας τᾶς εἰς αὐτόν.
Πολιάνθης Σωκράτευς | ἐποίησεν.

Ephem. arch. n. 3507. Weil Mitteil. arch. Inst. I (1876) p. 247 n. 2.

5 ΑΥΤΩΝ.

---

2. Tituli Theraei cum Cyrenaicis.

A. Tituli Theraei.

141 Tituli sepulcrales a dextra ad sinistram scripti.

1 Ἄπρωνός ἐμι. — IGA. 446. Spiritus asper in ἐμί fortasse non errori lapicidae debetur; cf. ὀκτ[ώ] in titulo Theraeo IGA. 471.

2 Ἐπάγατος | ἐποίε. — IGA. 436.

3 Ἑρμᾶς. — IGA. 440; tertia litera est Ǝ.

4 Ϝάναξ vel Λανίκης? — IGA. 445.

5 Θάρ(ρ)υμάχα. — IGA. 444; in fine A litera incerta est.

6 (ʽ)Ιάρον. — IGA. 438.

7 Κερδύνομος. — IGA. 441.

8 Κριτοπῦλο(υ). — IGA. 442. Fortasse hic quoque, ut in antiquissimis titulis Meliis, -ω terminatio statuenda est; nam ω per O (non ʘ) scriptum est etiam in (ʽ)Ιάρον n. 6.

9 Πρακσίλα ἠμί· Θάρ(ρ)υμαϙός ἐποίε. — IGA. 449. Pars H literae evanuit.

10 Τελέσιλ(λ)α. — IGA. 448.

De aetate horum titulorum cf. Kirchhoff Alph.[3] 53.

---

142 Lapis Therae repertus, in quinque lateribus inscriptus, nunc Athenis in museo publico.

a ʽΡεκσάνωρ, Ἀρχαγέτας, Προκλῆς, Κλεαγόρας, Περαιεύς.

b Ἄγλων, Περίλας, Μάληϙο[ς].

c Λεοντίδας.

d Ὀρθοκλῆς.

IGA. 451. — Nomina partim a dextra ad sinistram partim a sinistra ad dextram scripta sunt.

---

143 Therae in saxo.

Ἴσαος Τ|ιμοκλε[ίδα] | παο(ῦ) θετός.

IGA. 456. Ita restituit Roehl. Titulus βουστροφηδὸν scriptus est. 2 fin. ΚΡΒ; num Τ|ιμοκρῆ[ος]? — 3 fin. ΜΘΤ.

---

144 Therae in saxo.

Μίτον, Δέλπίς, | Π[ολ]υκλέος ἀδελπέ[οί].

IGA. 453. Titulus βουστροφηδὸν scriptus.
Prima litera est Ν.

---

145 Therae in saxo.

Πειδιπ(π)ίδ[ας] | πόρνος.

IGA. 455. — Titulus βουστροφηδὸν scriptus est.

---

146 Tituli sepulcrales a sinistra ad dextram scripti.

1 Δαΐφρον. — IGA. 470. Quinta litera est Ι.

2 Ἐρασικλῆς. — IGA. 460. Septima litera est Ρ; cf. n. 143.

3 Θαρ(ρ)υπτόλεμος. — IGA. 463.

4 Θεοθέμιος. — IGA. 469.

5 Ἰατροκλ|ῆς. — IGA. 454.

6 Κώθ[ι]ος ὁ Κριτοβο(ύ)λο(υ) ἀπὸ Ε[ὑμ]νάστας νεα(ρ)ηβ[ῶ]ν. — IGA. 466. Literae correctae sunt Ο, Γ, Β.

7 Πσήν. — IGA. 461.

8 ϙόϝυνος vel ϙώϝυνος. — IGA. 458; cf. Kirchhoff Alph.[3] 51.

---

147 Therae in saxo ad oram occidentalem posito.

Οὖρορ Ἀθαναίας.

Weil, Mitteil. arch. Inst. II (1877) p. 77, qui dicit aetatem recepta literatura Ionica paulo recentiorem esse. — Titulum non Theraeum esse sed fortasse a Lacedaemoniis (cf. Pausan. III, 15, 6) Therae positum putat Weißschuh, De rhotacismo linguae Graecae, Lipsiae 1881, p. 23. Sed rhotacismi Theraeorum etiam aliud exemplum exstat IGA. 452 ἐχσαπόλιορ.

---

148 [= 67]. Inscriptio basis amplae marmoreae, quae in museo Veronensi asservatur.

Ἀνδραγόρας | Φοίνικος, | Ἐπικτήτα | Γρίννου, | Κρατησίλοχος | Φοίνικος, | [Φοῖνιξ. . . . .]

A Ἐπὶ ἐφόρων τῶν σὺν Φοιβοτέλει | τάδε διέθετο νοοῦσα καὶ φρονοῦσα Ἐπικτήτα | Γρίννου μετὰ κυρίου Ὑπερείδους τοῦ Θρα||συλέοντος, συνευαρεστούσας καὶ τᾶς θυγα|τρὸς Ἐπιτελείας τᾶς Φοίνικος. Εἴη μέν μοι ὑγιαι|νούσᾳ καὶ σῳζομένᾳ τὰ ἴδια διοικέν· εἰ δέ τί κα | γένηται περί με τῶν ἀνθρωπίνων, ἀπολείπω | κατὰ τὰν γεγενημέναν μοι ὑπὸ τοῦ ἀνδρὸς || Φοίνικος ἐντολὰν τοῦ καὶ κατασκευαξαμένου | τὸ μουσεῖον ὑπὲρ τοῦ μεταλλαχότος ἁμῶν | υἱοῦ Κρατησιλόχου καὶ ἀγαγόντος τὰ ζῷα | καὶ τὸς ἀνδριάντας ἑαυτοῦ τε καὶ Κρατησι|λόχου καὶ τὰ ἡρῷα καὶ ἐνευξαμένου, ὥστε || κατασκευάξαι με τὸ μουσεῖον καὶ θέμεν τάς | τε Μούσας καὶ τὸς ἀνδριάντας καὶ τὰ ἡρῷα· | μετὰ δὲ δύο ἔτη τοῦ ἀπολελειμμένου ἔτι | μου υἱοῦ Ἀνδραγόρα μεταλλάσσοντος τὸν | βίον καὶ ἐντειλαμένου ἐπιτελῆ με ποιῆσαι || τὰν τοῦ πατρὸς αὐτοῦ Φοίνικος ἐντολὰν καὶ | θέμεν καὶ ὑπὲρ αὐτοῦ ὡς καὶ ὑπὲρ τοῦ πατρὸς | καὶ τοῦ ἀδελφοῦ τόν τε ἀνδριάντα καὶ τὸ ἡ|ρῷον καὶ συναγαγὲν κοινὸν ἀνδρείου τῶν συγ|γενῶν καὶ δόμεν τῷ κοινῷ τοῦ ἀνδρείου δρα||χμὰς τριςχιλίας πόθοδον, ἀφ᾽ οὗ συναχθη|σοῦντι· ἐπιτετελεχεῖα οὖν καὶ ἑσταχεῖα πάν|τα κατὰ τὰς ἐκείνων ἐντολὰς καὶ τὸ κοιν|ὸν συναγαγοχεῖα τῶν συγγενῶν, ὧν καὶ τὰ ὀνό|ματα ὑπογέγραπται, ὥστε συναγαγέσθαι τὸ κοι||νὸν ἐν τῷ μουσείῳ, δίδωμι δραχμὰς τρισχι|λίας τῷ προδεδηλωμένῳ κοινῷ τοῦ ἀνδρεί|ου τῶν συγγενῶν, ὥστε ὀφείλεσθαι αὐτὰς ἐπὶ | τοῖς ὑπάρχουσί μου αὐτοκτήτοις χωρίοις τοῖς ||

B ἐμ Μελαιναῖς [καὶ ἀπ᾽ ἐμοῦ] καὶ ἀπὸ τῶν κλα|ρονόμων καὶ [?ἀπὸ ἄλλου ὁτουοῦν διαδό]||χου. Ἀπολείπω δὲ τὸ μουσεῖον [καὶ τὸ τέμενος] || τῶν ἡρῴων τᾷ θυγατρί μου Ἐπιτελεία, ὥσ|τε παραλαβοῦσαν αὐτὰν καὶ τὰ λοιπὰ τῶν | ἄλλων μοι ὑπαρχόντων τελὲν καθ᾽ ἕκαστον | ἔτος ἐμ μηνὶ Ἐλευσινίῳ δραχμὰς δια|κοσίας δέκα τῷ κοινῷ τοῦ ἀνδρείου [οὗ συν]|αγάγοχα τῶν συγγενῶν. Μὴ ἐχέτω ἐξου|σίαν μηθεὶς μήτε ἀποδόσθαι τὸ μουσεῖον μή|τε τὸ τέμενος τῶν ἡρώων μηδὲ τῶν πραγ|μάτων τῶν ἐν τῷ μουσείῳ μηδὲ τῶν ἐν | τῷ τεμένει τῶν ἡρῴων μηθὲν μήτε κατα||θέμεν μήτε διαλλάξασθαι

μήτε ἐξαλλο|τριῶσαι τρόπῳ μηθενὶ μηδὲ παρευρέσει | μηδεμιᾷ μηδὲ ἐνοικοδομῆσαι ἐν τῷ τε|μένει μηθέν, εἴ κα μή τις στοὰν οἰκοδομῆσαι | προαιρεῖται, μηδὲ χρῆσαι τὸ μουσεῖον μηθενί, || εἴ κα μή τις τῶν ἐξ Ἐπιτελείας γάμον ποιῇ· | εἰ δὲ μή, κωλυέσθω ὑπὸ τοῦ κοινοῦ, καὶ κύρι|ον ἔστω τὸ κοινὸν κωλύον τὸν τούτων τι ποι|οῦντα. Μὴ ἐχέτω δὲ ἐξουσίαν μηδὲ ἐξενέγ|και τῶν ἐν τῷ μουσείῳ ὄντων μηθέν· εἰ δὲ μή, || κωλυέσθω ὑπὸ τοῦ κοινοῦ τῶν συγγενῶν, | καὶ κύριον ἔστω κωλύον. Τὰν δὲ ἱερατείαν τᾶν | Μουσᾶν καὶ τῶν ἡρῴων ἐχέτω ὁ τᾶς θυγα|τρός μου υὸς Ἀνδραγόρας, εἰ δέ τί κα πάθῃ οὗ|τος, ἀεὶ ὁ πρεσβύτατος ἐκ τοῦ γένους τοῦ Ἐπι||τελείας. Ὁ δὲ ἀνδρεῖος τῶν συγγενῶν συν|αγέσθω ἐν τῷ μουσείῳ καθ' ἕκαστον ἔτος | ἐμ μηνὶ Δελφινίῳ, λαμβάνων παρὰ τῶν δι|αδόχων μου τὰς διακοσίας δέκα δραχμάς, | ἄνδρας τρεῖς ἀποδείξας ἐπιμηνίος ἐξ αὐ|τῶν, καὶ θυέτω τᾷ μὲν ἐννεακαιδεκάτᾳ | ταῖς Μούσαις, τᾷ δὲ εἰκάδι τοῖς ἥρω-

C σιν || Φοίνικι καὶ Ἐπικτήτᾳ, τᾷ δὲ ἀμφεικάδι | Κρατησιλόχῳ καὶ Ἀνδραγόρᾳ. Εἰ δέ κα μὴ ἀπο|δῷ Ἐπιτέλεια ἢ οἱ κλαρονόμοι αὐτᾶς ἐν τῷ Ἐ|λευσινίῳ μηνὶ τῷ ἀνδρείῳ τῶν συγγενῶν || τὰς διακοσίας δέκα δραχμάς, ἔστω ἁ καρπεία | τῶν προδεδηλωμένων χωρίων τῶν ἐμ Μελαι|ναῖς τοῦ κοινοῦ τοῦ ἀνδρείου τῶν συγγενῶν | ποτὶ τὰς διακοσίας δραχμάς· εἰ δέ κα προαιρῶνται | τὰν ἀσφάλειαν δόμεν οἱ διάδοχοί μου τῷ κοινῷ || τοῦ ἀνδρείου τᾶν τρισχιλιᾶν δραχμᾶν, καὶ ἐς ἄλλα χωρία ἐξουσίαν ἐχόντων διδόντες ἀσφαλεῖς | τὰς ὑποθήκας. Τῶν δὲ συγγενῶν, ὧν συναγά|γοχα, ὀνόματα τάδ' ἐστὶ τὰ ὑπογεγραμμένα· | Ὑπερείδης Θρασυλέοντος, Ἀντισθένης Ἰσοκλεῦς, || κατὰ δὲ υοθεσίαν Γρίννου, Ἀριστόδαμος Ἰσοκλεῦς, Τιμήσιος Πραξιτέλους, Εὐαγόρας Προκλείδα, | Προκλείδας Εὐαγόρα, Καρτιδάμας Προκλείδα, | Ἁγνο(σ)θένης Καρτιδάμα, Προκλείδας Ἀλκιμέδοντος, | Βωδακράτης Αἰσωσθένους, Ἀρχίνικος Γοργώπα, || Στάρτοφος Βωδακράτους, Γοργώπας Ἀρχινίκου, | Γοργώπας Ἐχεκράτου(ς), Γοργώπας Καρτιδάμα, | Ἀγαθόστρατος Ἁγησιλόχου, Μόλλις Πολυμήδους, | Καρτιδάμας καὶ Κρατησίλοχος καὶ Δίων | καὶ Δωροκλείδας οἱ Ἀγαθοστράτου, || Ἵμερτος Ἱμεροφῶντος, Κρίτος Τεισάνορος, | Πολύνικος καὶ Εὐαγόρας οἱ Σωτέλους. | Πορευέσθωσαν δὲ καὶ αἱ τούτοις συνοικοῦσαι γυ|ναῖκες καὶ τὰ τέκνα αὐτῶν, τὰ μὲν θήλεια ἕως | καὶ ὑπὸ τὸν πατέρα, τὰ δὲ ἄρσενα καὶ ἐν

ἀλικίᾳ γε|νόμενα, καὶ τὰ ἐκ τούτων κατὰ τὰ αὐτά· πορευέσ|θων δὲ καὶ αἱ ἐπίκλαροι καὶ οἱ ξυνοικοῦντες αὐ|ταῖς καὶ τὰ ἐκ ταυτᾶν τέκνα κατὰ ταὐτὰ τοῖς προ|γεγραμμένοις· πορευέσθω δὲ καὶ ἁ ὁμώνυμός | μου Ἐπικτήτα καὶ ἁ θυγάτηρ μου Ἐπιτέλεια καὶ || αἱ Γοργώπα θυρατέρες Μνασὼ καὶ Αἰνησίππα | καὶ αἱ Θρασυλέοντος θυγατέρες Βασιλοδίκα | καὶ Τελεσίππα καὶ Καλλιδίκα καὶ ἁ Ἰσοκλεῦς καὶ οἱ | ταύταις συνοικοῦντες, πορευέσθω δὲ καὶ ἁ Ἀρι|στάρχου θυγάτηρ Ἐπιτέλεια, καὶ τὰ ἐκ ταυτᾶν τέκνα. | Μάρτυρες Χαρ. . . . . Εὐαγόρας Προκλείδα, | Ἀντισθένης [Ἰσοκλεῦς].

D Ἐπὶ ἐφόρων τῶν σὺν Ἱμέρτῳ, Διοσθύου. | Ἐπειδὴ Ἐπικτήτα Γρίννου μετὰ κυρίου τοῦ τᾶς | θυγατρὸς ἀνδρὸς Ὑπερείδους τοῦ Θρασυλέον|τος, συνευαρεστούσας καὶ τᾶς θυγατρὸς αὐ|τᾶς Ἐπιτελείας, ἐπιδέδωκε ἐς θυσίαν ταῖς | Μούσαις καὶ τοῖς ἥρωσι καὶ ἐς ἀνδρείου τῶν ξυγ|γενῶν συναγωγὰν κατὰ διαθήκαν δραχμὰς | τρισχιλίας, ἐς δὲ καὶ λαμβάνε*ν καθ' ἕκαστον || ἔτος παρὰ τῶν διαδόχων αὐτᾶς δραχμὰς δι|ακοσίας δέκα, ὥστε γίνεσθαι τὰν συναγω|γὰν ἐπ' ἁμέρας τρεῖς ἐν τῷ μουσείῳ, ᾧ αὐτὰ | κατεσκεύωκε ὑπέρ τε τοῦ ἀνδρὸς αὐτᾶς Φοί|νικος καὶ αὐτᾶς καὶ τῶν υἱῶν Κρατησιλόχου || καὶ Ἀνδραγόρα, καὶ θύεν τὸν μὲν τὰν πράταν ἐπι|μηνιεύοντα ταῖς Μούσαις, τὸν δὲ τὰν δευτέ|ραν τοῖς ἥρωσι Φοίνικι καὶ Ἐπικτήτᾳ, τὸν δὲ | τὰν τρίταν τοῖς ἥρωσι Κρατησιλόχῳ καὶ Ἀν|δραγόρᾳ· ἀγαθᾷ τύχᾳ δεδόχθαι τάν τε ἐπαγ||γελίαν ἀποδέξασθαι αὐτᾶς καὶ ποιεῖσθαι τὰν | * συναγωγὰν ἀπὸ τοῦ πράτου πλείμματος, | καὶ ἐπιχεῖσθαι πάντας ἀπὸ δείπνου ἐπὶ τὸ πρᾶ|τον ποτείριον τᾶν τε Μουσᾶν καὶ Φοίνικος καὶ Ἐπι|κτήτας καὶ Κρατησιλόχου καὶ Ἀνδραγόρα. Τὰν || δὲ συναγωγὰν τοῦ ἀνδρείου τῶν συγγενῶν | γίνεσθαι ἐμ μηνὶ Δελφινίῳ ἐν τῷ μουσείῳ | καθ' ἕκαστον ἔτος ἁμέρας τρεῖς, καὶ λειτουργὲν | ἅπαξ ἀνὰ πρεσβύτατα δωρεὰν πάντας, ὁμοί|ως δὲ καὶ τὸς ἐκ τούτων γενομένος καὶ παρα||γινομένος ἐς τὸ κοινεῖον λειτουργέν, γενο|μένος ἐκ τῶν ἐφήβων, τὰν πράταν ἐπιμηνιεί|αν δωρεάν· παρεξοῦντι δὲ οἱ δωρεὰν ἐπιμη|νιεύοντες οἶνον ξενικὸν ἱκανὸν δόκιμον ἕως | τριῶν πινόντων, στεφάνος, μουσικόν, μύρον· || εἰ δέ κά τις μὴ ἐπιμηνιεύσῃ κατὰ τὰ γεγραμμέ|να, ἀποτεισάτω τῷ κοινῷ δραχμὰς ἑκατὸν καὶ |
E πρασσέσθω ὑπὸ τοῦ κατατυγχάνοντος ἀρτυ||τῆρος κατὰ τὸς νόμος, καὶ μὴ μετεχέτω τοῦ | κοινοῦ ἐς ὅ κα ἐκτείσῃ. Ἐπὶ

δὲ ταῦτα τὰ ἔτη | τὰν πίπτουσαν πρόσοδον τῷ κοινῷ ὁ καταǁτυγχάνων ἀρτυτὴρ πράξας ἀποδιδότω ἐπὶ | σύλλογον, καὶ δανειζέσθω ὑπὸ τῶν αἱρε|θέντων ἐγ*δανειστᾶν ἐπὶ ὑποθήκαις ἐγγαί|οις ἀξιοχρέοις χῶρι τοῦ ἀφαιρουμένου ἐς | τὰς θυσίας ταῖς τε Μούσαις καὶ τοῖς ἥρωσι ǁ κατὰ τὰν διαθήκαν· ἀφαιρούντων δὲ καὶ συλ|λογευτικὸν μὴ πλεῖον δραχμᾶν δέκα πέν|τε. Εἰ δὲ κατὰ δωρεὰν ἐπιμήνιοι μηκέτ' ὦντι, | δεξοῦντ[αι] κατὰ τὸ ἑξᾶν ἀνὰ πρεσβύτατα | πάντες οἱ παραγινόμενοι, καθὼς γέγραπται ǁ καὶ τὸς δωρεὰν δεχομένος, καὶ λήψοῦνται | παρὰ τοῦ ἀρτυτῆρος δραχμὰς πεντήκοντα | πρὸ τοῦ τὰν σύνοδον ἦμεν πρὸ ἁμερᾶν δέ|κα· εἰ δέ κα μὴ δέξηται λαβών, ἀποτεισάτω | δραχμὰς ἑκατὸν πεντήκοντα, καὶ πραξάǁτω αὐτὸν ὁ ἀρτυτήρ, καὶ ἐνεχύραστος ἔσ|τω αὐτῷ κατὰ τὸς νόμος· ἐς ὃ δέ κα ἐκτεί|σῃ, μὴ μετεχέτω τοῦ κοινοῦ· ἐπιμην(ι)ευσά|τω δὲ κατὰ αὐτὸν ὁ ἀρτυτὴρ καὶ κομισάσθω | ἀπὸ τᾶν π[ο]θόδων πρᾶτος. Τὸ δὲ δεῖπνον ǁ γινέσθω, ὥς κα δόξει τῷ κοινῷ καὶ ἀφ' ὅ|σου κα δόξει. Ὁ δὲ ἀρτυτήρ, εἴ κα μὴ ἐξοδιά|ξει τοῖς ἐπιμηνίοις κατὰ τὰ γεγραμμένα, ὁ | μὲν ἐπιμήνιος πάντως δεχέσθω καὶ θυ|έτω τὰν ἐπιβάλλουσαν αὐτῷ θυσίαν, ὁ δὲ ǁ ἀρτυτὴρ ᾧ κα μὴ ἐξοδιάξει ἐπιμηνίῳ ὀφει|λέτω δραχμὰς ἑκατὸν πεντήκοντα, καὶ ἁ | πρᾶξις ἔστω τῷ μὴ λαβόντι κατὰ τοῦ ἀρτυ|τῆρος κατ' ἐνεχυρασίαν κατὰ τὸς νόμος, καὶ | μὴ μετεχέτω τοῦ κοινοῦ, ἐς ὅ κα ἐκτείσῃ. Θυǁέτω δὲ ὁ τὰν πράταν ἐπιμηνιεύων ἁμέ|ραν ταῖς Μούσαις ἱερεῖον καὶ ἱερὰ ἐλλύτας | ἐκ πυρῶν χοινίκων πέντε καὶ τυ-

F ροῦ καπυǁροῦ στατῆρος· παρεξεῖ δὲ καὶ στεφάνος τοῖς | θεοῖς καὶ τὰ λοιπὰ τὰ ποτὶ τὰν θυσίαν πάντα· | ἀπὸ δὲ τούτων καρπωσεῖ τοῖς θεοῖς τά τε ἐκ ǁ * τοῦ ἱερείου νενομισμένα ἱερὰ καὶ ἐλλύταν. Ὁ | δὲ τὰν δευτέραν τοῖς ἥρωσι Φοίνικι καὶ Ἐπι|κτήτᾳ ἱερεῖον καὶ ἱερὰ ἐλλύτας ἐκ [πυ]ρῶν χοι|νίκων πέντε καὶ τυροῦ καπυροῦ στατῆρος· | παρεξεῖ δὲ καὶ στεφάνος τοῖς ἥρωσι καὶ τὰ λοιǁπὰ τὰ ποτὶ τὰν θυσίαν πάντα καὶ καρπωσεῖ τά | τε ἐκ τοῦ ἱερείου νομιζόμενα ἱερὰ καὶ ἐλλύ|ταν καὶ ἄρτον καὶ πάρακα καὶ ὀψάριά τ[?ιν]α. Ὁ δὲ | τὰν τρίταν θυσεῖ τοῖς ἥρωσι Κρατησιλόχῳ καὶ | Ἀνδραγόρᾳ κατὰ τὰ αὐτά, καθὰ γέγραπται θύǁεν Φοίνικι καὶ Ἐπικτήτᾳ. Οἱ δὲ ἐπιμήνιοι θύον|τες τὰς θυσίας ταύτας ἀποδωσόντι τῷ | κοινῷ τός τε ἐλλύτας πάντας καὶ τῶν | σπλάγχνων τὰ ἡμίση, τὰ δὲ λοιπὰ ἑξοῦντι | αὐτοί· ὁ δὲ ἀρτυτὴρ διελεῖ τὰ ἱερὰ τοῖς

παροῦ‖σι. Εἰ δέ κα ἡ ἐπιμηνιεία δωρεάν, πωλείτω ὁ ἐ|πίσσοφος, ὅςτις θυσεῖ τὰς θυσίας, αὐτὰς | κατὰ τὰ γεγραμμένα· ὅσου δέ κα ἀποδῶται, ὁ | ἀρτυτὴρ ἐξοδιαζέτω. Αἱρείσθω δὲ τὸ κοινὸν | καὶ ἐπίσσοφον· ὁ δὲ αἱρεθεὶς συναγέτω σύλ‖λογον καθ᾽ ἐνιαυτὸν ἐν τᾷ δευτέρᾳ ἁμέρᾳ | καὶ προνοείσθω πάντων τῶν κατὰ τὸ κοινόν, | ὅπως διοικῆται τὰ γεγραμμένα ἔν τε τᾷ δια|θήκᾳ καὶ τῷ νόμῳ, καὶ ἐνγραφέτω τός τε | ἐπιμηνίος καὶ τὸν ἀρτυτῆρα ἀνὰ πρεσβύτα‖τα καὶ ἐπίσσοφον καὶ ἐκδανειστάς, καὶ εἴ κά | τις μὴ ἐπιμηνιεύσει, ὀφείλοντα τὸ ἐκ τοῦ νό|μου ἐπίτιμον, καὶ εἴ τί κα ἄλλο αὐτῷ ἐπιβάλ|λει ἐγγράφεν κατὰ τὸν νόμον καὶ τὰν διαθήκαν | καὶ τὰ δόξαντα τῷ κοινῷ· γραφέτω δὲ καὶ τὰν ‖ ἔσοδον καὶ ἔξοδον τὰν γινομέναν ἐπ᾽ αὐτοῦ, | καὶ εἴ τί κα ἄλλο ὀφείλειται τῷ κοινῷ· εἰ δέ κα | μὴ ποεῖ τὰ ποτιτεταγμένα,

G ὀφειλέτω τῷ κοι‖νῷ δραχμὰς τριακοσίας, καὶ τοῦ κοινοῦ | μὴ μετεχέτω, ἐς ὅ κα ἐκτείσῃ, καὶ πρακτὸς | ἔστω ὑπὸ τῶν αἱρεθέντων ἀνδρῶν ὑπὸ ‖ τοῦ κοινοῦ κατ᾽ ἐνεχυρασίαν κατὰ τὸς νό|μος. Ὁ δὲ ἀρτυτὴρ ὁ αἱρεθεὶς πραξεῖ τὰ ὀ|φειλόμενα τῷ κοινῷ κατά τε τὰν διαθή|καν καὶ τὰ λοιπὰ πάντα τὰ παραγραφέντα | αὐτῷ ὑπὸ τοῦ ἐπισσόφου, καὶ ἐξοδιαξεῖ ‖ τοῖς τε ἐπιμηνίοις τὰ γεγραμμένα ἐν | τοῖς νόμοις καὶ τὸ συλλογευτικὸν καὶ | τὰ ἐς τὰς θυσίας, ὅσα κα μὴ ὧν πεπρᾶται (?), | καὶ εἴ τί κα ἄλλο δόξει τῷ κοινῷ· τὰ δὲ λοι|πὰ ἀποδωσεῖ ἐπὶ σύλλογον· εἰ δέ κα μὴ ἐ‖ξοδιάξει τι τῶν γεγραμμένων εἶ τὰ πε|ρισσὰ χρήματα μὴ ἀποδῷ ἐπὶ σύλλογον, | ὀφειλέτω, ὅ κα τούτων μὴ ποιήσει, δι|πλοῦν τῷ κοινῷ τὸ χρῆμα, καὶ ἐγγραφέ|τω αὐτὸν ὁ ἐπίσσοφος ἐς τὰ τοῦ κοινοῦ ‖ γράμματα, ὅ κα μὴ ποήσει τούτων ὀφεί|λοντα διπλοῦν· καὶ τοῦ κοινοῦ στερέσθω, | ἐς ὅ κα ἐκτείσῃ, καὶ πρακτὸς ἔστω ὑπὸ | τῶν αἱρεθέντων ἀνδρῶν ἀπὸ ἐνεχυρα|σίας κατὰ τὸς νόμος· τοῖς δὲ ἐπιμηνίοις ‖ εἴ κα μὴ ἐξοδιάξει, ἔστω κατ᾽ αὐτοῦ τὰ γε|γραμμένα ἐν τῷ νόμῳ. Ὅπως δὲ πάντα | διοικεῖται κατά τε τὰν διαθήκαν καὶ τὸν | νόμον καὶ τὰ δόξαντα τῷ κοινῷ δυνα|τῶς ἐς πάντα τὸν χρόνον, αἱρείσθω τὸ ‖ κοινόν, εἴ κά τινες μὴ ποιῶντι τὰ κατὰ | νόμον εἶ τὰν διαθήκαν εἶ τὰ δόξαν|τα, ἄνδρας ὅσος κα δόξει, οἵτινες πάντα | πραξοῦντι, καθότι κα δόξει τῷ κοινῷ· | καὶ ἐγγραφέτω καὶ τὰν τούτων αἵρεσιν ὁ ‖ ἐπίσσοφος· εἰ δέ κα ὁ ἐπίσσοφος μὴ προ|αιρεῖται ἐγγράφεν παραχρῆμα, τὸ κοινὸν ἀ|ποχυρούτω ἄνδρα τὸν

II ἐγγραψοῦντα· ὁ δὲ ‖ αἱρεθεὶς γραφέτω πάντα τὰ δόξαντα | τῷ κοινῷ. Ἃ δέ κα δόξει τοῖς πλείοσι τοῦ | κοινοῦ, ταῦτα κύρια ἔστω. — Πάλιν ὑπὲρ δια|λύσεως· ὑπὲρ δὲ τούτου μὴ ἐχέτω ἐξου‖σίαν μηθεὶς μήτε εἶπαι μήτε γράψαι, ὡς δε|είση διαλῦσαι τὸ κοινὸν εἶ τὰς θυσίας τὰς | προγεγραμμένας εἶ τῶν τοῦ κοινοῦ τι | κακῶσαι ἢ διελέσθαι ἢ τοῦ ἀρχαίου τι κα|ταχρήσασθαι· εἰ δέ τίς κα εἴπη ἢ γράψει, ‖ τό τε ῥηθὲν ἢ γραφὲν ἄκυρον ἔστω, καὶ ὁ | εἴπας ἢ γράψας στερέσθω τοῦ κοινοῦ καὶ ὀ|φειλέτω αὐτῷ δραχμὰς πενταχοσίας | καὶ πρακτὸς ἔστω καὶ ἀπὸ ἐνεχυρασίας | κατὰ τὸς νόμος ὑπὸ τοῦ χρήζοντος τῶν ‖ συγγενῶν. Ὅπως δὲ ἐπίσσοφός τε ἀπο|δειχθῇ καὶ ὁ αἱρεθεὶς ἐγγράψει πάντα | κατὰ τὸν νόμον, συναχθήτω σύλλογος | ἐπὶ ἐφόρων τῶν σὺν Ἱμέρτῳ, μηνὸς Διοσ|θύου δεκάτᾳ, καὶ αἱρεθήτω ἐπίσσοφος· ‖ οὗτος δὲ ἐγγραφέτω τά τε κατὰ τὸν | νόμον πάντα, προνοειθήτω δὲ καί, ὅ|πως ὁ νόμος ἀναγραφῇ καὶ (ἁ) διαθήκα ἐς | τε τὰν ὑπόβασιν τῶν ἀγαλμάτων τῶν | ἐν τῷ μουσείῳ, καὶ ἐς δέλτον ξυλογρα‖φηθεῖ, κατασκευωθῇ δὲ καὶ γλωσσόκο|μον, ἐς ὃ ἐμβαλοῦμες τὰ τοῦ κοινοῦ | γράμματα, καὶ ὅπως αἱρεθῇ ἀνὴρ γραμ|ματοφύλαξ, ὅστις παραλαβὼν διὰ λοι|ποῦ παρὰ τοῦ ἐπισσόφου τάν τε δέλτον ‖ ἔχουσαν τὸν νόμον καὶ τὰν διαθήκαν ἐ|ξυλογραφημέναν καὶ τὸ γλωσσόκομον | καὶ τὰ ἐν αὐτῷ βυβλία φυλαξεῖ, ἐς ὅ κα | δόξει τῷ κοινῷ, καὶ οἰσεῖ ἐπὶ τὸς συλ|λόγος, εἰ δέ κα ἄλλον ἕληται τὸ κοινὸν ‖ γραμματοφύλακα, ἀποδωσεῖ τῷ αἱρε|θέντι μετ' αὐτὸν ἐν συλλόγῳ δι' ἀπολόγου.

CIG. 2448. — Monumentum, cuius basi hic titulus per octo columnas inscriptus fuit, Therae positum fuisse coniecit et argumentis maxime e nominibus propriis petitis confirmavit Boeckh. Fuerunt quatuor statuae virorum, quorum nomina ab initio tituli scripta sunt. Titulus ipse continet testamentum Epictetae divitis mulieris, quae in honorem mariti et filiorum conventum consanguineorum instituit, coniunctum cum lege, quam hic conventus ipse sibi constituit. Aetas tituli secundum vel tertium a. Chr. seculum esse Boeckhio videtur.

A 25 sq. συναχθησοῦντι: cf. Ahrens Dial. II 289. — *B* 1 ΜΕΛΔΙΝΑΙΣ. — in fin. ΚΛΗ. — 5. 14. 27 ἡρῴων: ἡρώων scripsit Boeckh; sed ῳ corruptela effectum esse negat

Ahrens Dial. II 189. 241. — 19 προαιρεῖται: coniunctivus; προαιρῆται postulavit Ahrens Dial. II 183; sed cf. Blass Aesspr. p. 30. — 34 ΑΜΕΡΑΣ, correxit Boeckh. — *C* 6 fin. ΜΕΛΔΙ. — 9 ΜΕΥ. — 15 ΜΟΘΕΣΙΑΝ. — 37 ΤΕΛΕΣΙΓΓΗ. — *D* 9 Ι litera deleta. — 21 init. ΤΑΝ literae deletae — *E* 7 ΕΓΓΥΑΝΕΙΣΤΑΝ. — 12 ΔΩΡΕΑΣ. — 13 ἐξάν: cf. n. 161, 78 et Ahrens Dial. II 87. — 15 ΔΑΝΕΙΟΥΝΤΑΙ. — 17 ἦμεν: noli cum Ahrensio Dial. II 170. 322 corrigere; nam saepe ἦμεν legitur in titulis, qui alioquin ει et ου pro η et ω Doricis habent. — 22 fin. ΕΓΙΜΑΝΕΥΣΑ. — *F* 5 Κ litera deleta. — ΕΞΑΥΤΑΝ. — 12 πάρακα: Hesych. βάραξ· φύραμα στρογγύλον ἀφ' οὗ αἱ μάζαι γίνονται. Cf. Ahrens Dial. II 138. 584. — 14 ΓΕΓΕΝΗΤΑΙ. — 33 ΕΙΣ. — *G* 12 ὅσα κα μὴ ὦν: cf. Ahrens Dial. II 384. — 26 ΔΗ. — 37 ΕΓΓΡΑΦΟΥΝΤΑ. — *H* 5 sq. δε|είση: pro δεήσει, quod tamen non licet substituere; cf. supra ad *B* 19. — 16 ΕΓΓΡΑΦΕΙ. — 21 ΚΑΤ. — 29 init. ΓΟΥ.

B. Tituli Cyrenaici.

149 Fragmentum lapidis calcarii Olympiae a. 1880 repertum.

ϙυρα[ναίον].

IGA. 507.

---

150 Cyrenae.

.......ς Ἱπποκλεῦς
Ἀγασικλῆς Φιλοκλεῦς
Ἀπόλλωνι δεκάταν.

Smith and Porcher, History of the recent discoveries at Cyrene, London 1864, n. 2. — Literae sunt aetatis Romana superioris.

---

151 Cyrenae; fragmentum marmoris repertum in parietinis templi.

....
[λ]οχαγοὶ τεθ[ρ(]π[πων]
Μναστοκλῆς Βαθυκλεῦς
Πίθακος Ἀριστωνύμω
Ἀρισταγόρας Φιλοκώμω
Ἀριστοφάνης Κλευγένευς
Δαμασίστρατος Καλλίππω
Ἀριστόπολις Εὐρυπτολέμω·

λοχαγοὶ μονίππων
Ἀριστοκλῆς Στεφάνω
sic Ὕξαν Εὐπτολέμω
Στράτων Κάρνιος
Πρᾶξις Θευχρήστω
Πρατομήδης Φιλίππω·
τριακατιάρχαι
Πολυκλῆς Μελανίππω τῶ
Ἀριστάνδρω
Ἀριστοφάνης Παρα[ι]βάτα
Καλλίμαχος Ἀννικέριος
Βαθυκλῆς Νικοστράτω
Ἰάσων Δαϊμένευς
Πρῶρος Κύκνω
Θαλίαρχος Εὐρυπτολέμω
Κλέων Χάρωνος
Λῦσις Ἐπικλεῦς
Φίλων Ἀννικέριος
Ἡρίλοχος Ἐ[πι]βάτα
Καλλίστρατος Χριστωνύμω
Νίκανδρος Ἀλεξάνδρω
Χάρων Ἰάσονος
Νικόδαμος Θα..α.ιος
Ὀνυμοκλῆς Πολυκλεῦς
Ἱππόδαμος Φιλο[δάμ]ω·
λοχαγοὶ πεζῶν
Πολυάρατος Παρατ..ος
Φιλοκλῆς Θευ......
Ἀντίπατρος Πολ.....ος
Πασέας Ἱπποδάμω
Χαιρεσίλας Ἀν[αξ]αγόρας
Ψάφων Ἀγλωμ[ά]χω
Εὐκλῆς Θευχρήστω
Σίφυρος Πιθάκω
Φίλων Θευχρήστω
Τιμῶχος Πολυτίμω
Περίανδρος Θρασυλλίωνος
Θεύδωρος Καλλιμάχω
Φρασσάμενος Ἀριστοτέλε[υς]
Ἄναξις Δαμώνακτος
Πράταρχος Ὀνυμάρχω
Τιμόλας Πιθάκω
Θεύμανδρος Λυσίππω
Δαϊλέων Θευχρήστω·
λοχαγοὶ πελταστᾶν συμμ....
τοῖς τριακατίοις
Ἀνδροκλῆς Κα[λλιμ]άχω
Ἀριστομένης Ἀ.....
Πρῶρος Σωσία...
Ἀριστοφῶ[ν]...
Τελεσα....
Εὐ.......

Smith and Porcher l. l. n. 6. Literae videntur esse aetatis Romana superioris; sed adversatur Χριστωνύμω nomen v. 26.
27 ΑΛΕΣΑΝΔΡΩ. — 38 ΑΓΛΩΓ. — 56 ΑΡΙΣΤΟΦ◠.

152 Cyrenae.

A	*B*
....	....
....	[Μελά]νιππος Λυσισβάτω
....	Πολύαρχος Παυσανία
...... [Δα]μοκρίτω	Χάρων Φαυστίω
.....ς Μελανίππω	Ζεῦξις Αἰταχίννω (?)
..... Ἐρυσίππω	Καλλίστρατος Νικαίω

A

.....αχος Ἀρτύλα
.....άτης Ὑπερόχω
.....ρχος Ποδώκευς
......χάρτης Θράσωνο[ς]
.....ος Φράσωνος
..νιππος Ἁγήμονος
.... Θάλωνος
...αν Πρώρω
...λας Εὐκλείδα
...αμος Μνάσιος
...της Ἀκέσωνος
[Ἀριστ]οτέλης Πράτιος
..αρχος Παυσανία
..οίδας Λυσάνορος
.....ι Ἀριστοβώλω
..ένης Χαιριείδευς
...ρ Πείσιος
....ος Νέωνος
......άμιος
......λύκω.

B

Ἑλικὰν Λεντίχω
Λύκος Εὐρυμάχω
Νίκιππος Εὐφρονίω
Ἀρίστων Λύκων[ος]
Φιλόξηνος Μελανίππω
Τελέσαρχος Κρησίλα
Ἀντίμαχος Φιλοκώμω
Ἀντίφιλος Λυσάν[δρω]
Ἀλεξίβιος Σμυρναίω
Ἀμμώνιος Ξήνιος
Ἐπήρατος Πολυδώρω
Ἄλεξις Λύγαντος
Ἀρίστ[α]ρχος Θράσυος
Ἀνάξανδρος Σχίδα
Βάραιβις Μοιρισθένευς
Ἐξακέστας Ἀριστίππω
Ἀλεξίμαχος Ἄλκιος
Προκλῆς Ἰάσονος
Εὐρυφῶν Ἀρίστιος

Smith and Porcher l. l. n. 7. Literae sunt eaedem atque in n. 151.

A 11 ΙΙΠΠΟΣ. — *B* 4 ΞΕΥΞΙΣ. — 13 ΛΥΣΑΝ.

---

153 [= 68] Cyrenae.

Ἀσκλαπὸν Ἀσκλαπῶ ἱαριτεύον|τα τῶ Ἀπόλλωνος ἀρετᾶς ἕ[νε]|κα καὶ εὐνοίας, ἃς ἔχων δια[τε]λεῖ ἔς τε τὸς κοινὸς εὐεργ[έτας] || Ῥωμαίος καὶ ἐς τὰν πόλιν καὶ | [τ]ὸς ἱαρές, καὶ τᾶς ποτὶ τὸς θε[ὸς χ]άριν ε[ὐ]σεβίας οἱ ἱαρὲς τ[ῶ Ἀ]π]όλλωνος ἀνέθ[εν].

CIG. 5131. Repetierunt Smith and Porcher l. l. n. 25.

VIII. Tituli Anaphaei, Astypalaeensis, Calymnius, Coi, Cnidii, Nisyrius, Telii, Carpathii et titulus mercennariorum Psammatichi.

154 In insula Anaphaea ad aedem Salvatoris in base imaginis sacerdotis Iovis et Serapidis. Cyriacus.

Ἔδοξε τᾷ βουλᾷ τᾷ Ἀναφαίων καὶ | τῷ δάμῳ, [γ]νώμαν ἀγορεύσαντος Πινδάρου | τοῦ Τελεσιγένους θέσει δὲ Εὐβούλου, ἐπι|ψαφιζομένου Ἀρχωνίδα τοῦ Κρατη||σίππου· ἐπεὶ τῶ(ν) μεγίστω(ν) θεῶν Σερά|πιος καὶ Ἴσιος καὶ τῶν ἄλλων τῶν | πὰρ αὐτοῖς ὁ ἱερεὺς Ἰάσων Ἰάσωνος | τὰν ποθεδρείαν καὶ τὰν ἐπιμέλειαν | ἀξίως ἀεὶ τῶν θεῶν κατὰ πάντα || καιρὸν φαίνεται ποιούμενος καὶ | τὰς θυσίας καὶ τὰ ἱερὰ τοῖς δέουσι | χρόνοις ἐπιτελῶν, ὡς δόξαν ἦμεν | πᾶσιν ἁμὶν χαίρεν ταῖς ὑπηρεσίαις | αὐτοῦ τὸς θεὸς καὶ ἀδέως ὑπ' αὐτοῦ || γεραίρεσθαι· δεδόχθω ἐπᾳνῆσθαι | μὲν τὸν Ἰάσωνα πανδαμεί, ἐπικε|χυρῶσθαι δὲ αὐτῷ καὶ τὰ προάγοντα | ψαφίσματα πάντα, συνκεχωρῆσθαι | δὲ αὐτῷ καὶ εἰκόνα γραπτὰν ἀναθέμεναι || αὐτοῦ ἐν τῷ τῶν θεῶν ναῷ ἐπιγραφὰν | ἔχουσαν· ἁ βουλὰ καὶ ὁ δᾶμος Ἰάσωνα | τὸν εὐσεβέστατον ἱερέα τᾷ ἀναθέσει τᾶς | εἰκόνος ἐτίμασεν. Ἔτι συνκεχωρήσθω αὐτῷ | καὶ τοῦ ψαφίσματος τούτου ἀντίγραφον || ὑποτάξαι τᾷ εἰκόνι ἐν τῷ ναῷ.

Ex Cyriaci schedis edidit O. Riemann, Bull. Corr. Hell. I (1877) p. 286 sq. n. 62.

4 trad. η. — 12 trad. ο. — 15 init. trad. τ. — ἐπᾳνῆσθαι: perf.; ει scriptum erat, sed correctum est in η. — 23 trad. τ. — 25 trad. τῶ.

155 Cippus Anaphae repertus.

Σωκράτεια | Νικοφάνευς | ἀνδρὸς δὲ | Δαμοστράτου || τοῦ Θρασυπείθευς | χαῖρε.

Ross, Arch. Aufs. II p. 517 n. 16. — Titulus est aetatis Romanae.

156 [= 70] Astypalaeae in ecclesia extra urbem.

[Ἔδοξ]ε τᾷ βουλᾷ καὶ τῷ δάμῳ, Φίλ[αρχος Ἀ]ριστ]οκλεῦς ἐπεστάτει, γνώμα πρυ[τανί]ων· ἐπε]ιδὴ Ἀρχεσίλας Μο(ι)ραγένευς αἱ[ρεθ]εὶς] ἀγορανόμος ἐπεμελήθη τοῦ δάμου ‖ μετὰ πάσας φιλοτιμίας τῶν τε κατὰ | [τ]ὰν ἀγορὰν πάντων ἐπιμελόμενος, | [ὅ]πως ὡς εὐωνότατα καὶ δικαιότατα πωλῆ[[τ]αι, καὶ σῖτον προωνεύμενος διετέλει | τῷ δάμῳ· ἐπαινέσαι τε αὐτόν, ὅτι καλὸς ‖ καὶ ἀγαθὸς γεγένηται περὶ τὸν δᾶμον, | καὶ διαψαφίξασθαι κατὰ τὸν νόμον, | ἤ δοκεῖ αὐτὸν στεφανῶσαι θαλλοῦ | στεφάνῳ· * αἰ δέ κα δόξει, τοὶ πρυτανεύ[[οντες Ληνοβάκχιον στεφανωσάντω ‖ αὐτὸν τοῖς Διονυσίοις ἐν τῷ ἀγῶνι] | τῶν τραγῳδῶν, (ὁ) δὲ κᾶρυξ ἀναγορευ[σ]άτω, ὅτι ὁ δᾶμος στεφανῷ Ἀρχεσίλαν | Μοιραγένευς ἀρετᾶς ἕνεκα καὶ εὐνοί[[ας], ἃς ἐνεδείξατο ἐς τὸν δᾶμον ‖ ἀγορανομήσας καλῶς καὶ φιλοτίμως· | ἐξέστω δὲ αὐτῷ καὶ ἀνάθημα ἀναθέμε[[ν] ὅπᾳ κα χρῄζῃ τᾶς ἀγορᾶς ἐ[πὶ] τᾶ(ς) στοιᾶ[[ς] τᾶς παρὰ τὸ πρυτανεῖον. Τὸ δὲ ψάφισμα | τόδε ἀναγράψαι ἐς τὰν φλιὰν τοῦ ἀγοραν‖[ο]μίου· ἄνδρα δὲ ἑλέσθαι, ὅστις ἐπιμεληθη[[σ]εῖ τᾶς ἀναγραφᾶς· τὸ δὲ ἀνάλωμα | [τοὶ] ταμίαι δόντω. Ἔδοξε στεφανῶν· ἁρέθη | ἀναγράψαι Φίλαρχος Ἀριστοκλεῦς.

CIG. 2483. — Est decretum Astypalaeensium, quod ante initium dominationis Romanae factum esse videtur.

2 ΟΕΝΕΥΣ. — 13 Κ litera deleta. — 14 sq. duos versus supplevit Boeckh ex similitudine tituli CIG. 2484. — 17 στεφανῷ: ausus non sum corrigere, quoniam Ω scriptum est etiam n. 198, 31 et CIG. 2484, 19. Cf. Blass Ausspr. 40. — 22 ΧΡΗΙΞΗΙ. — 25 sq. ἐπιμεληθη[[σ]εῖ: cf. Ahrens Dial. II, 289 et Blass Rhein. Mus. 36 (1881) p. 612; exemplis ab eis allatis addendum est ἀναγραφησ[εῖ] ἐ[ν τῷ ἱερῷ] κτλ., quod exstat in titulo Carpathio quem ed. Beaudouin, Bull. Corr. Hell. IV p. 265 n. 2. — 27 στεφανῶν· ἁρέθη: cf. Ahrens Dial. II 206.

---

157 [= 69] Iasi in ecclesia ruinosa.

[Ἔδ]οξε τᾷ βουλᾷ καὶ τῷ δάμῳ, γνώμα προστατᾶν· ἐπειδὴ ‖ [ὁ δ]ᾶμος ὁ Ἰασέων ἔν τε τοῖς πρότερον χρόνοις εὔνους ὢν καὶ | [φίλ]ος διατελεῖ τῷ δάμῳ τῷ Καλυμνίων καὶ νῦν πρεσβεύ[[ον]τος τοῦ δάμου καὶ ἀξιοῦντος δόμεν ἄνδρας πέντε, | [οἵτι]νες παραγενόμενοι μάλιστα μὲν διαλυσεῦντι τοὺς | [δια-

φ]ερομένους τῶν πολιτᾶν, εἰ δὲ μή, κρινεῦντι διὰ ψάφου, ‖ [ἀπέσ]τειλε ἄνδρας καλοὺς κἀγαθούς, οἳ παραγενόμενοι | [πᾶσ]αν σπουδὰν ἐποιήσαντο * τοῦ διαλυθέντας τοὺς | [πολ]ίτας τὰ ποτ' αὑτοὺς πολιτεύεσθαι μετ' ὁμονοίας· | [καὶ ἀ]πογραφεισᾶν δικᾶν εἰς τὸ δικαστήριον [πλε]όνων | . . . ακοσιᾶν πεντήκοντα, τὰς μὲν πλείστας διέλυσαν ‖ [πείσ]αντες τοὺς ἀντιδίκους, ὅπως μὴ διὰ ψάφου τῶν πρα|[γμά]των κρινομένων εἰς πλέω ταραχὰν ὁ δᾶμος | [καθισ]τᾶται· τινὰς δὲ καὶ διάτασαν συμφερόντως | [ἀμφο]τέροις τοῖς ἀντιδίκοις· δέκα δὲ δικᾶν εἰςαχθεισᾶν | [εἰς τὸ δ]ικαστήριον ἔκριναν διὰ ψάφου κατά τε τὸ διάγραμ|[μα τοῦ] βασιλέως καὶ τοὺς νόμους, ὄντες ἀνερίθευτοι | [καὶ δ]οκεῖν δηλόμενοι· ὅπως οὖν καὶ ὁ δᾶμος ὁ Καλυμνίων | [φαίνητ]αι χάριν ἀποδιδοὺς τοῖς εὐεργετοῦσι αὐτόν, καὶ πολ|[λοὶ πρ]οαιρῶνται καὶ λέγειν καὶ πράσ(σ)ειν τὰ δέοντα ὑπὲρ τοῦ | [πλήθεο]ς τοῦ Καλυμνίων, εἰδότες, ὅτι ὑπαρξεῦντι αὐτοῖς ‖ [χάριτες κ]ατάξιαι ὧν κα εὐεργετήσωντι· δεδόχθαι τᾶ|[ι βουλᾷ κ]α(ὶ) τῷ δάμῳ· ἐπαινέσαι τὸν δᾶμον τὸν Ἰασέων | [ἀρετᾶς ἕ]νεκεν καὶ εὐνοίας, ἂν ἔχων διατελεῖ περὶ τὸ πλ|[ῆθος τῶν Κα]λυμνίων, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ | [ἀπὸ μνᾶ]ν πέντε, ἐπαινέσαι δὲ καὶ τοὺς ἀποσταλέν|[τας δικαστ]ὰς καλοκαγαθίας ἕνεκεν, Κλέανδρον | [Διοδώρου,] Λέοντα Εὐβούλου, Κέφαλον Δράκοντος, | [Θεόδωρον Ν]ουμηνίου, Λέοντα Δρακοντίδου, | [καὶ στεφανῶ]σαι αὐτοὺς χρυσῷ στεφάνῳ | [καὶ τούτῳ (?) ἀπὸ μνᾶν π]έντε, δεδόσθαι δὲ αὐτοῖς ‖ [καὶ προξενίαν καὶ π]ολιτείαν, αὐτοῖς καὶ ἐγγόνοις, | [καὶ ἀτέλειαν πάντων· ἐπ]ικλ[αρ]ῶσαι δὲ αὐτοὺς ἐπὶ φυλὰν | [ἂν κα δήλωνται· ἦμεν] δὲ αὐτοῖς καὶ προεδρίαν ἐν τοῖς | [ἀγῶσι καὶ πόθοδον ποτὶ τὰν ἐκ]κλησίαν μετὰ τὰ ἱερά.

CIG. 2671. In lapide praecedit decretum Iasensium volgari sermone scriptum, quo honor a Calymniis acceptus narratur et magistratus iubentur decretum eorum lapidi incidendum curare. Ad restitutionem exulum ab Alexandro Magno iussam hoc decretum referendum esse Boeckhius putat. Ad titulum emendandum nonnulla contulit Cobet, Mnemos. VI (1857) p. 447 sqq.

36 **Υ** litera deleta. — **ΔΙΑΛΥΘΕΝΤΟΣ**. — 39 **ΠΛΕΙΣΑΝΑ**. — 44 **ΑΚΑΣΤΗΡΙΟΝ**. — 49 init. **ΕΙΟΥ**. — 47 [Ν]ουμηνίου, Δρακοντίδου: formas non Doricas in nominibus Iasensium notavit Ahrens Dial. II 218. 225. — 63 **ΙΣΡΑ**.

158 In vico Pili in insula Còo.

Ἱερὰ ἁ γᾶ καὶ ἁ οἰκία | ἁ ἐπὶ τᾷ γᾷ καὶ τοὶ κᾶ|ποι καὶ ταὶ οἰκίαι ταὶ | ἐπὶ τῶν κάπων θεῶν || δυώδεκα καὶ Χαρμύλου | ἥρω[ος] τῶν Χαρμυλέων.

Ross, Inscr. Gr. ined. n. 309. Ex suo ectypo repetiit Rayet, Arch. miss. scient. 1876 p. 103, qui erravit, quod titulum quinto a. Chr. seculo tribuit.

---

159 In oppido Coo in pavimento ecclesiae veteris.

sic [Δ]ιὸς Φατρίο[υ],
Ἀθαναίας,
Εὐρυανακτ[ι]|δᾶν.

Hauvette-Besnault et Dubois, Bull. Corr. Hell. V (1881) p. 224 n. 13. — Formae literarum videntur esse tertii a. Chr. seculi.

---

160 In oppido Coo.

Ἔδοξε τᾷ βουλᾷ καὶ τῷ δάμῳ, Δια|γόρας Κλευχίου εἶπε· ἐπειδὴ Θήρων | Βουδαστράτου Τύριος ἀνὴρ ἀγαθός | ἐστι περὶ τὸν δᾶμον τὸν Κῴων καὶ || ἐμ πᾶσι τοῖς καιροῖς χρείας διατελεῖ | παρεχόμενος πᾶσι Κῴοις, δεδόχθαι | τῷ δάμῳ ἐπαινέσαι τε αὐτὸν καὶ ἦ|μεν πρόξενον τᾶς πόλιος τᾶς Κῴι|ων καὶ ἐκγόνους· ἦμεν δὲ αὐτοῖς ἔσ||πλουν καὶ ἔκπλουν καὶ ἐμ πολέμῳ | καὶ ἐν εἰράνᾳ ἀσυλεὶ καὶ ἀσπονδεὶ | καὶ αὐτοῖς καὶ χρήμασι· τοὶ δὲ π[ωλη]|ταὶ μισθωσάντω ἀναγρ[άψαι τε τὰν] | προξενίαν ἐς τὰν στ[άλαν καὶ στᾶσαι || ἐ]ν τῷ ἱερῷ τῶν [δυώδεκα θεῶν.]

Am. Hauvette-Besnault et Marcel Dubois, Bull. Corr. Hell. V (1881) p. 206 sq. n. 2. — Titulus videtur esse tertii a. Chr. seculi.

---

161 In insula Coo in parietinis ecclesiae veteris.

Ἐπὶ μονάρχ[ο]υ Πραξ[ιμ|έν]ευς μηνὸς Ὑακινθίου.

A Ἔδο[ξ]ε ταῖς φυλαῖς αἷς | μέτεστι τῶν ἱερῶν Ἀ|πόλλωνος καὶ Ἡρακλεῦς | ἐν Ἁλασάρνᾳ· Εὐφίλη||τος Παρμενίσκου τοῦ | Φι–

λόφρονος εἶπε· ἐπει|δὴ συνβαίνει δυσεπι|γνώστος ἦμεν τὸς
ἀ|ναγεγραμμένος τῷ θε‖ῷ διὰ τὸν χρόνον, ὅ|πως οὖν ἐπι-
γνωσθᾶν|τι, τοῖς τε ὑποδεχομέ|νοις εὐπαρακολούθη|τον ὑπάρχῃ
B τὸ π[λῆθος] ||| τῶν μετεχόντων τοῦ ἱε|ροῦ· δεδόχθαι, κυρω|-
θέντος τοῦδε τοῦ ψα|φίσματος, ἀπογράφεσ|θαι τὸς μετέχοντας ‖
τοῦ ἱεροῦ, τὸς μὲν ἐνδά|μος ἀρξαμένος ἀπὸ τᾶς | τρίτας τοῦ
Ὑακινθίου | ἔστε καὶ τὰν τριακά|δα τοῦ Ἀλσείου· τὸς δὲ
ἀ‖ποδάμος ἀπογραφόν|τω τοὶ ἐπίτροποι· εἰ δὲ | μή, ἀπογρα-
C φέσθων αὐ|τοί, ἐπεί κα παραγένων|||ται, ἐν τριμήνῳ, τὸ
ὄνο‖μα πατριαστὶ ποτὶ τὸς | ναποίας ἐξαγευμέ|νος καὶ τὰν
φυλὰν καὶ | τᾶς ματρὸς τὸ ὄνομα | καὶ τίνος τῶν πολιτᾶν ‖
θυγάτηρ ὑπάρχει· οἷς | δέδοται ἁ πολιτεία, κα|τὰ τίνα νό-
μον ἢ δόγμα | κοινὸν τοῦ παντὸς δά|μου· ποταπογραφέσ‖θων
δὲ καὶ τὰν πατρίδα | καὶ τίνος ε..γης καὶ | αματη.....ε.
D Ὅπως ||| δὲ μηθένα λάθῃ ἁ ἀπο|γραφά, τοὶ ναποῖαι τοῖς ‖
Ἡρακλείοις, ἐπεί κα μέλ|λωντι κλείνεσθαι τοὶ | φυλέται, προ-
χαρυσσόν|τω ἀπογράφεσθαι κα|τὰ τὰ προγεγραμμένα, ‖ καὶ
ἐν τῷ συλλόγῳ τὸ | αὐτὸ ποιεύντω· κα|τὰ ταὐτὰ δὲ καὶ ἐν |
τῷ Δαλίῳ μηνὶ ἀρξά|μενοι ἀπὸ τᾶς τετρά‖δος ἐς ὅ κα συν-
E τελεσ‖[θ]ῶντ[ι τ]αὶ παναγύ[ρει]ς, ||| προχαρυσσόντω καὶ | ἀπο-
γραφόντω· ἐχόν|τω δὲ καὶ ἐμ πόλει ἐκ‖χθέματα κατὰ τὰν sic
ἀ|γοράν, ὁπεῖ κα αὐτοῖς | δοκῆ ἐπιτάδειον ἦ|μεν· ἐν δὲ τῷ
δάμῳ | τὸ ψάφισμα τόδε ἀνα‖γράψαντες εἰς λεύκω|μα ἐκτι-
θέντω πᾶσαν | ἁμέραν φανερὸν σκο|πεῖν τῷ χρήζοντι ὅμ|περ
F χρόνον καὶ ἁ ἀπο‖γραφὰ ὑπάρχει· καὶ τὸς ||| ἀπογραψαμένος
κα|ταχρηματιζόντω | καθότι καὶ τἆλλα | γράμματα χρηματί‖-
ζοντι· ἐχόντω δὲ | καὶ παρ' αὐτοῖς ἐν λευ|κώματι κατὰ
γράμμα | ἀναγεγραμμένος ἐ|ξὰν ἀπὸ τοῦ ἄλφα ‖ καὶ παραδι-
δόντω | τοῖς μεθ' αὐτὸ[ς γ]ε[νο]|μένοις, καὶ τὸ[ς ἀπο]|γραφο-
G μένος ἀεὶ π[οτα]|ναγραφόντω· το[ὶ δὲ] ||| ἀρχεύοντες καὶ τοὶ
ἐπι|μήνιοι διδόντω τὰς με|ρίδας ἀντεφορῶντες | ἐκ τοῦ λευκώ-
ματος, | καὶ τοὶ ναποῖαι τὸς ἐπ[ι|β]αλλομένος ἐς τὰν [ἱε|ρ]α-
τείαν τὸν κλᾶρον ἐ|χόντω ἀντεφορῶντες | ἐκ τοῦ λευκώματος. |
Ὅπως δὲ καὶ εὐσ.μοι‖α ὑπάρχῃ ἁ ἀναγραφά, τοὶ | ναποῖαι
ἀναγραψάντω | [πᾶ]ν τόδε τὸ ψάφισμα ἐ[ς | στ]άλαν καὶ
H σ..σ..ϹΓ [πο]||ταναγραφομένος καθότ[ι] ‖ αὐτοῖς καὶ ἐς τὸ
λεύκωμα | [ἀναγράψαι] ἐπιτέτακται. | [Τὰν δὲ γ]ενομέναν δα-
πά|[ναν ἐς] τὰν ἀναγραφὰν τ[ε|ισάντω] τοὶ ναποῖαι ἀπ[ὸ ‖ τῶν
ὑπα]ρχόντων τοῖς θε|[οῖς χρημ]άτων καὶ ἀπολογ|[ισάντω μετὰ]

τὰς ἄλλας δ[α|πάνας]. Αἰ δέ κά τις τῶν ἀ[ρχ|ευόν]των ἀπειθῆ τοῦδε τοῦ || ψαφίσματος, πεντακατίας | δραχμὰς ἀποτεισάτω ἱε|[ρὰς τοῦ Ἀ]πόλλωνος.

Marcel Dubois, Bull. Corr. Hell. VI (1882) p. 249 sqq., cui formae literarum videntur esse tertii a. Chr. seculi. Catalogum participum cultus similem eius, quem componere ναποῖαι in titulo s. s. iubentur, edidit ex lapide O. Rayet, Ann. Assoc. Encour. V, p. 200 sqq.

31 sq. ἐξαγευμέ|νος: an ἐξαγεύμε|νοι? — 78 sq. ἐ|ξάν: i. q. ἑξῆς, cf. n. 148 *E* 13. — 94 sq. ευσ.μοι|α: fortasse εὔσ[α]μο|ς.

---

162 Antimachiae in insula Coo in ecclesia.

Ἐπὶ μ[ον]άρχου Νικόφρονος, μηνὸ[ς] | Ἀρταμιτίου, ἔδοξε τῷ κοινῷ[ι] | τῶν συμπορευομένων παρὰ Δ[ία | Ὑ]έτιον· Χάρμιππος Παρμενίσ[κου || κ]αὶ Φίλιστος Φιλίστου καὶ Λύκ[αι]|θος Παρμενίσκου εἶπαν· ἐ[πει]|δὴ Νικαγόρας Θευδώρου κ[αὶ] | Λύκαιθος Λευκίππου γενόμ[ε]|νοι ἐπιμήνιοι αὐτεπάγγελ|τοι τά τε ἱερὰ ἐξέθυσαν τῷ[ι] | Διὶ καὶ ἀνενεώσαντο τὰν θυ|σίαν τοῦ Διὸς καὶ τὰν ὑποδοχὰ[ν | ἐ]ποήσαντο τῶν δαμοτᾶν καὶ | [τ]ῶν ἄλλων πάντων ἀξίως τῶ[ν || θ]εῶν, σπουδᾶς καὶ προθυμίας | [ο]ὐθὲν ἐλλείποντες· ὅπως οὖν κ[αὶ | το]ὶ μετὰ ταῦθ' αἱρούμενοι ἐπιμήνι[οι | πολ]ὺ προθυμοτέρος αὐτὸς παρέχ[ων|τ]αι εἰδότες τὰν τῶν δαμοτᾶν [εὔ|ν]οιαν· δεδόχθαι Νικαγόραν μ[ὲν | κ]αὶ Λύκαιθον ἐπαινέσαι ἐπί τ[ε] | τᾷ αἱρέσει καὶ εὐσεβείᾳ ἂν [ἔ]|χοντι ποτὶ τὸς θεὸς καὶ τ[ὸς | δ]αμότας καὶ στεφανῶσαι [αὐ]|τὸς ἀπὸ χρυσῶν δέκα· το[ὶ δὲ] | ταμίαι ἀνγραψάντων τόδε [τὸ ψά]|φισμα ἐς στάλαν λιθίναν [καὶ] | ἀναθέντων πὰρ τὸν βωμὸν | τοῦ Διός· τὸ δὲ ἀνάλωμα [τὸ γε]|νόμενον ἐς τὰν στάλαν τε[ι]|σάντων τοὶ ταμίαι.

Ross, Inscr. Gr. ined. n. 175. Repetiit ex suo ectypo O. Rayet, Ann. Assoc. Encour. IX (1875) p. 281 sqq. n. 7. — Titulus videtur esse tertii vel secundi a. Chr. seculi.

25 χρυσῶν: scil. στατήρων.

---

163 Antimachiae in insula Coo in muro domus privatae.

Ἐπὶ μ[ο]νάρχου .... [μηνὸς Ἀρ]ταμιτίου ἀμφεικ[άδος | ἔδ]οξε τοῖς φυλέταις· [ἐπειδὴ Π]ερικλῆς Νικάρχου αὐ[τε|πάγγ]ε[λτο]ς ἀρχεύσας τάς τε θυσίας ἐ[ξ]έθυσε τοῖς θεο[ῖς] | μεγαλομερῶς καὶ ἀξίως αὐτοῦ τε καὶ τ[ῶ]ν φυλετᾶν, [ποη||σ]ά[μεν]ος αὐτῶν καὶ τὰν ὑποδοχὰν φιλοδόξως καὶ ἐ[κτεν]|ῶς, βουλόμενος ἐναποδ[είκν]υσθαι τὰν ποτὶ αὐτὸς εὔ[ν|οιαν]· ὅπως οὖν καὶ τοὶ φυλέται φαίνωνται ἐπισαμ[αινό|μ]ενοί τε καὶ τιμῶντες τὸς ἀγαθὸς τῶν ἀνδρῶν ἐπί τε τ[ᾷ | πο]τὶ τὸς θεὸς εὐσεβείᾳ καὶ τᾷ ποτ' αὐτὸς εὐνοίᾳ τε κα[ὶ || φιλ]οδοξίᾳ, τοί τε λοιποὶ τοὶ [με]τὰ ταῦτα αἱρεύμενοι [ἀρ|χ]εύοντες, θεωρεῦντες τὰν παρὰ τῶν φυλετᾶν ἐπ[ισ]αμ[ασ|ία]ν τε καὶ εὔνοιαν, πολὺ προθυμότεροι γίνωνται· [ἔδοξε, | κ]υρωθέντος το[ῦδ]ε τοῦ ψαφίσματος, ἐπαινέσαι [καὶ] στ[εφα|ν]ῶσαι αὐτὸν στεφάνῳ χρυσέῳ ἀπὸ χρυσῶν δ(έκα) [ἀρετᾶς || ἕ]νεκα καὶ εὐνοίας τᾶς ποτ' αὐτούς· [ἀ]ποδότ[ω] δὲ [Περικλεῖ ὁ | τ]αμίας καὶ τὸν στέφ[ανον] τὸν κ[ατὰ] τὸν νόμον· [ἐξῆ|μ]εν δὲ αὐτῷ καὶ εἴ [κα δ|ήληται ἀναγράψαντα τόδε τὸ [ψάφ|ισ]μα ἐς στάλαν λαΐναν ἀναθέμεν παρὰ τὸς νόμος | [τ]ὸς πατρίος. Ψᾶφοι ἐπιδιδοῦσαι τὸν στέφανον [ἅπ]α[σ]αι [ἦ||σα]ν, αἱ δὲ [μὴ] οὐδεμία.

Hauvette-Besnault et Dubois, Bull. Corr. Hell. V (1881) p. 239 sq. n. 26. — Titulus eiusdem aetatis cuius is qui praecedit.
19 fin. Λ·ΑΙ.

---

164 In oppido Coo in domo privata.

Τοίδε ἐστεφανώθην ἀρχεύσαν|τες καὶ τὰ ἱερὰ ἐχθύσαντες κατὰ τὰ | * πάτρια ταῖς Νύμφαις καὶ δεξά|μενοι τὸς φυλέτας ἀξίως τᾶν || θεᾶν· Χάρμιππος Χαρμοκλεῦς, | Διοκλῆς Ἐπινίκου, | Νικήρατος Νικοστράτου, | Διογένης Νικοστράτου, | Χαρμίδας Αἰνησία, || Διοκλῆς Ἀρχεδάμαντος, | Λύκαιθος Αἰνησία, | Τελέσιππος Παρμενίσκου, | Διοκλῆς Ἀπολλοδώρου, | Παρμενίσκος Χαριδάμου, || Νικήρατος Νικηράτου, | Δράκων Θράσωνος, | Ἀρισταγόρας Σίμου, | Λύκαιθος Παρμενίσκου, | Ἀρισταγόρας Διοκλεῦς, || Ἐπίνικος Ἀρισταγόρα, | Πυθίων Ἀρ-

χεσίλα, | Παναμύας Μαιδάτα, | Τίμαρχος Ἀριστογένου[ς], | Τελέσιππος Ἀριστίππου, || Νικήφορος Νικηράτου, | Χάρμιππος Παρμενίσκο[υ], | Ἀρχίδαμος Ἀρίστωνο[ς], | Φιλοκλῆς Τεισάρχο[υ] το[ῦ] | Ἡρακλείτου, Χαρμοκλῆς || Χαρμίππου, Θεύδοτος | Παναμύα.

Hauvette-Besnault et Dubois, Bull. Corr. Hell. V (1881) p. 225 sq. n. 14. — Titulus est tertii vel secundi a. Chr. seculi.

1 ἐστεφανώθην: noli corrigere; cf. διελέγην in titulis Cretensibus n. 123, 7. 124, 7. 128, 15. — 2 Α litera deleta.

---

165 In oppido Coo in domo privata.

[Ἔδ]οξεν τᾷ βουλᾷ καὶ τῷ δάμῳ, γνώμα προστα[τᾶ]ν, περὶ ὧν Ἁλικαρνασσεῖς φίλοι καὶ σύμμαχοι || [ὑπ]άρχοντες τοῦ δάμου ψάφισμα καὶ πρεσβευ[τὰ]ν ἀποστείλαντες Σαμιάδην Μενεκράτου[ς ἀξ]ιοῦντι δόμεν αὐτοῖς ἀναγόρευσιν καὶ ἀνα[γρα]φὰν στεφάνῳ ᾧ τετιμάκαντι Ἑρμίαν Ἐμμε[νίδα], δεδόχθαι ἀποκρίνασθαι αὐτοῖς, ὅτι ὁ δᾶ||[μος πρότ]ερόν τε πάντα τὰ δυνατὰ καὶ καλῶς | [ἔχ]οντα πράσσων διετέλει καὶ νῦν τὰν αὐτὰν | [διάθ]εσιν ἔχων δίδωτι αὐτοῖς τὰν ἀναγ[όρ]ευσιν | [το]ῦ στεφάνου καὶ τὰν ἀναγραφὰν καθ' ἃ ἀξιοῦν[τι· τ]ὸν δὲ πρεσβευτὰν καλέσαι ἐπὶ ξένια εἰς || [τὸ] πρυτανεῖον.

Am. Hauvette-Besnault et Marcel Dubois, Bull. Corr. Hell. V (1881) p. 211 sqq. n. 6. In eodem lapide antecedit decretum Halicarnassensium. Titulus tertii vel secundi a. Chr. seculi esse videtur.

25 ΔΗΜΟΥ.

---

166 Fragmentum marmoris Cnidi repertum, nunc in museo Britannico.

.... [χρυσέῳ στεφά]νῳ, θαλλοῦ στεφάνῳ καὶ ἄλλοις | [χρ]υσέοις στεφάνοις τρισί, εἰκόσι | [χα]λκέαις τρισὶ καὶ μαρμαρίναις | [τρι]σὶ καὶ χρυσέαις τρισί, ἀ[να]γορεύσεσ||[ι καὶ] στεφαναφορίαις καὶ προεδρίαις | [ἐν] πᾶσι τοῖς ἀγῶσι καὶ αὐτῷ καὶ | [ἐ]κγόνοις, σ[ι]τήσει ἐν δαμιοργίῳ | [ἕω]ς κα ζώ[ῃ], καὶ ἐπεί κα μεταλλάξῃ | τὸν βίον, ταφᾷ δαμοσίᾳ καὶ ἐνταφᾷ ||

κατὰ πόλιν ἐν τῷ ἐπισαμοτάτῳ | τοῦ γυμνασίου τόπῳ· ἑστάκει δὲ | [αὐ]τοῦ καὶ εἰκόνα χρυσέαν σύνναον | [τᾶ]ι Ἀρτά[μι]τ[ι] τᾷ Ἱακυνθοτρόφῳ | [κ]αὶ Ἐπιφανεῖ, ἇς καὶ αὐτᾶς ἱερεὺς || [ὑ]πάρχει διὰ βίου· καὶ βωμὸν | [ἱ]δρ[υ]σ[ά]μενος καὶ θυσίας καὶ πομπὰν | [κ]αὶ γυμνικὸν ἀγῶνα πενταετηρικὸν | [ψαφι]ξάμενος Ἀρτεμιδώρεια, | [τετ]ιμάκει α[ὐ]τὸν τιμαῖς ἰσοθέοις.

Le Bas, Voy. arch. III n. 1572 *bis* (= Explic. p. 369). Artemidorus, in cuius honorem ludi Artemidorei vocati sunt, aut is fuit, qui Caesari Id. Mart. in senatum ituro epistulam porrexit, aut nepos eius; cf. Waddington apud Le Bas III 1572 et huius delectus n. 193.

1 **ΣΤΕΦΑΝΟΙ**. — 5 **ΣΤΕΦΑΝΗΦΟΡΙΑΙΣ**. — 6 **ΑΥΤΟΙ**. — 8 init. **Ε**. — 9 **ΗΟΝ**. — 13 **ΙΑΙ**.

---

167 Ansae vasorum Cnidiorum Alexandriae in Aegypto repertae.

1 (11) Ἐπὶ Ἀπολλωνίδα. Ἀπολλωνίου. Κνίδ(ιον).

2 (15) Ἀριστιάδα. Ἀρτάμωνος.

3 (17) Ἐπὶ Ἀριστοπόλιος. Θευδοσίου. Κνίδι(ον).

4 (18) Ἀριστοτέλευς. Ἁρμοκράτευς. Κνίδιον.

5 (20) Ἐπὶ Ἀσκληπιοδώρου. Θευφείδευς. Κνίδιον.

6 (26) Δαμοκρίτου. Κρατίδα.

7 (37) Ἐπὶ Εὐάνορος. Νικασίβουλος.
Ἐπὶ Εὐάνορος. Εὐκλείδα. Κνίδιον.

8 (43) Ἐπὶ δαμιοργοῦ Εὐφραγόρα. Σωτίονος. Κνίδιον.

9 (47) Ἐπὶ δαμιοργοῦ Θευγένευς. Κνίδιον.

10 (49) Θευκλεῦς. Ἐπὶ Εὐκράτευς. Κνίδιον.

11 (55) Ἐπὶ Κλευκράτευς. Κνιδίων.

12 (56) Κλευμβρότου. Μενεσθέως.

13 (74) Ἐπὶ Τιμακλεῦς. Νικασιβούλου.

Edidit Τάσσος Δ. Νέρουτσος, Ἀθήναιον III (1874) p. 441 sqq. — Ubi nomina singula in singulis vasis exstant, figulos significari

putat; ubi bina sunt, alterum ad magistratum eponymum (δαμιοργόν) alterum ad figulum referri. Literaturam in plerisque eam dicit esse, quae inde a Vespasiani usque ad M. Aurelii aetatem in usu fuerit; sed non deesse etiam vetustioris aetatis exempla.

---

168 Nisyri.

Ἀπὸ το[ῦ] τείχε[ος] | δαμόσιον τὸ χωρίον πέντε πόδ[ε]ς.

Ross, Inscr. Gr. ined. n. 165. — 2 πόδ[ε]ς: nominativum restituit Dittenberger Herm. XVI (1881) p. 199 ex analogia similis tituli Parii.

---

169 Tabula marmorea Teli reperta.

....θ..χας [Φιλό]ξενος Φιλοσ[τράτου] .....θα | [τ]ὰν ἐνιαυσίαν ἐπὶ δαμιοργοῦ [Βοΐ]σκου [Ἀπό]λλωνι Πυθίῳ.

A

Ἀριστόβουλος Ἀριστομένευς, | Ἱερώνυμος Ἱέρωνος, | Τίμαρχος Δαμοκράτευς, | Κλευμήδης Ἐχεδάμου, || Σιμίας Σιμία, | Κλείτων Δρούθου, | Χαιρέφιλος Ἀριστογ[έν]ευς, | Κλεισίθεμις Ἀλεξιμάχου, | Νικᾶναξ Νικαγόρα, || Καλλιστόδικος Σα[θνοντος].

B

Ἀριστίων Ἀριστοτίμου, | Ἀριστόξενος Ἀριστωνύμου, | Διόγειτος Φιλτοδάμου, | Ἀριστοκράτης Τιμανδρίδα, || Ὀνόσανδρος Ἀριστάνδρου, | Ἀριστοδάμας Δαμοσθένευς, | Ἀν[τικ]λείδας Χαροφῶντος, | Σῖμος Βλόσωνος, | [Ἀριστό]τιμος Ἀριστ[οφ]ίλου, || .... Ἀριστοφίλου.

C

Ἀριστόδοχος Δαμοδίχου, | Ἀριστότιμος Ξενοτίμου, | Τιμοχρηῦν Ξενοφῶντος, | Ἀριστανδρίδας Ἀνδρίσχου, || Ἑρμοχρηῦν Ἑρμαγορίδα, | Ἑρμοχρηῦν Νικάναχτος, | Κλειτόμαχος Καλλιστογ[ένευς], | Ἀριστόδοχος Δαμαρχίδα, | Ἡρογείτων Δαμοκράτε[υς].

Ross, Hellen. n. 1. Ex apographo Sprattii ed. Churchill Babington, Transactions Roy. Soc. Lit., Sec. Ser. X (1874) p. 117 sq. n. 7.

B 8 Χλόσωνος Spratt. — *C* 5 Τιμαρχίδα Ross. — 9 Ηροιστων Spratt.

---

170 Teli.

[Ἔ]δοξε τῷ δάμῳ, | γνώμα πρυτανίων· | Ἀρίονα Ἀριστονίκου | Πτολεμαιῆ πρόξενον || ἦμεν καὶ εὐεργέταν | τὰς πόλιος τᾶς Τηλίων | καὶ αὐτὸν καὶ ἐκγόνος· | ἦμεν δὲ αὐτοῖς εἴσ|πλουν καὶ ἔκπλουν || εἰς Τῆλον ἀσυλὶ καὶ | ἀσπονδὶ καὶ ἐμ πολέ|μῳ καὶ ἐν ἰράνᾳ· ἀνα|[γ]ράψαι δὲ τὸ ψάφισμα | [τό]δε ἐ[ς] στάλαν λιθίναν, || [καὶ θέ]μεν πα[ρὰ τ]ὸ ἱαρὸν]....

Ex apographo Sprattii ed. Churchill Babington, Trans. Roy. Soc. Lit. N. S. X (1874) p. 120 n. 10.

---

171 Carpathi in pila marmorea.

......οίου Βρυχούντιος εἶπε· ἐπειδὴ Μην[ό|κρι]τος Μητροδώρου Σάμιος δεδαμοσιευ|[κὼ]ς ἔτη ὑπὲρ τὰ εἴκοσι ἐκτενῶς τε καὶ φιλο||[τί]μως, θεραπεύων διατετελέκει πάντας, || [κ]ατά τε τὰν ἐμπειρίαν καὶ τὰν ἄλλαν ἀνα||[σ]τροφὰν ἀνέγκλητον αὐτὸν παρέσχηται, | λοιμικᾶς τε διαθέσιος γενομένας καὶ πολλῶν | εἰς τοὺς ἐσχ[ά]του[ς] κινδύνους ἐμπεσόντων | οὐ μόνον τῶν δαμετᾶν ἀλλὰ καὶ τῶν παροικεύν||των, τὰν πᾶσαν ἐκτένειαν καὶ κακοπαθίαν | παρεχόμενος παραίτιος γεγόνει τᾶς σωτηρ[ί]|ας, πρὸ τοῦ τε μισθωθήμειν διατρίβων ἐν [πόλει] | πολλοὺς τῶν δαμετᾶν ἐν ἐπικινδύν[οις] | διαθέσεσι γενομένους ἔσωσε μ[ι]σθὸν ο[ὐ || δεξάμ]ενος εὐνόμως τε καὶ [δικ]αίως [πρὸς τὸν δε|όμεν]ον τῶν κατοικεύ[ν]των ἐν τῷ περιπολ[ίῳ | αὐτὸ]ς πορευόμενος διατετελέκει· ὅπως οὖν | [κ]αὶ ὁ δᾶμος ὁ Βρυχουντίων φαίνηται εὐχάρι[[στο]ς καὶ τοὺς ἀγαθοὺς τῶν ἰατρῶν τιμῶν, || [κ]υρωθέντος τοῦδε τοῦ ψαφίσματος δεδόχθ[αι | τῶ]ι δάμῳ· Ἐπαινέσαι Μηνόκριτον Μητροδώρο[υ | Σ]άμιον καὶ στεφανῶσαι χρυσέῳ στεφάνω[ι | κα]ὶ ἀναγορεῦσαι ἐν τῷ ἀγῶνι τῶν Ἀσκλαπιεί[[ω]ν, ὅτι ὁ δᾶμος ὁ Βρυχουντίων ἐπαινεῖ

καὶ || [σ]τεφανοῖ χρυσέῳ στεφάνῳ Μηνόκριτον | [Μ]ητροδώρου Σάμιον ἐμπειρίας ἕνεκα καὶ καλο[κἀ|γ]αθίας· ἐξέστω δὲ Μηνοκρίτῳ καὶ εἰς τὰς πανα||[γ]ύρεις παραγίνεσθαι ἃς συντελοῦντι Βρυχούντι|οι· τὸ δὲ γενόμενον τέλεσμα εἰς τὸν στέφανον || τελεσάτω ὁ ταμίας. Μετὰ δὲ τὰν κύρωσιν τοῦδ[ε | τ]οῦ ψαφίσματος ἑλέσθω ὁ δᾶμος παραχρῆμ[α ἕνα | ἄν]δρα, ὁ δὲ αἱρεθεὶς ἀ[γγειλ]άσθω ἐν τῶ[ι] σ[ύνπ]α[ντι | δ]άμῳ τὰν δόσιν τοῦ στεφάνου· καὶ ὥστε ἀναθέ|μειν εἰς τὸ ἱερὸν τοῦ Ποτειδᾶνος τοῦ Πορθμίου || στάλαν λιθίναν καὶ ἀναγράψαι εἰς αὐτὰν τὸ | ψάφισμα καθ' ὃ τετιμάκει ὁ δᾶμος ὁ Βρυχουντίων | [Μ]ηνόκριτον Μητροδώρου Σάμιον [ἐμπειρία]ς | [ἕνεκε]ν? ....

Edidit et copiose tractavit Wescher, Rev. archéol. VIII (1863) p. 469 sqq. Repetiit A. Vercoutre medicus Rev. arch. n. s. 39 (1880) p. 317 sq. in commentario quem inscripsit »La médecine publique dans l'antiquité grecque.« — Aetatem Menocriti circa finem quarti vel initium tertii a. Chr. seculi statuendam esse putat Wescher. Exstat simile decretum Athenis in honorem Euenoris medici factum, Rang. 378 = CIA. II 187, quod Wescher affert.

12 ΜΙΣΘΟΘΗΜΕΙΝ. — 15 sq. [πρὸς τὸν δε|όμεν]ον: cf. in titulo Coo, Bull. Corr. Hell. V p. 201 sq. v. 11 sq.: ἀεὶ τοῖς δεομένοις παρείχετο τὰν | [τέχναν]. — 17 [αὐτό]ς: suppl. Vercoutre l. l. — 36 ΤΕΤΙΜΑΗΕΙ.

---

172 Cippus repertus in insula Rhodo.

Δαϊκράτευς | τοῦ | Καλλικράτευς | Βρυχο(υ)ντίου.

Papadopoulos-Kérameus, Bull. Corr. Hell. V (1881) p. 334 n. 9.

---

173 In insula Carpatho.

Μελάνθιος | Μενεκράτευς | Βρυχούντιος, | Ἐπαίνετος Ῥάδιος || Νισύριος, | Σωσίπολις | Ἀρχικράτευς | Βροχούντιος, | αἱρεθέντες ἱεραγ[ω||γ]οὶ ὑπὸ τοῦ σύνπαν||[το]ς δάμου Ποτ[ειδᾶ|νι Πο]ρθμίω[ι].

Beaudouin, Bull. Corr. Hell. IV (1880) p. 262 n. 1. — Titulus videtur aetate Romana superior esse.

174 [= 74] In crure sinistro colossi Psampolitani.

Βασιλέος ἐλθόντος ἐς Ἐλεφαντίναν Ψαμ(μ)ατίχο(υ) | ταῦτα ἔγραψαν, τοὶ σὺν Ψαμματίχῳ τῷ Θεοκλ(έ)ος | ἔπλεον. Ἦλθον δὲ Κέρκιος κατύπερθε, (ʽ)υῖς (ʽ)ο ποταμὸς | ἀνίη. Ἀλ(λ)ογλόσ(σ)ο(υ)ς δ᾽ ἦχε Ποτασιμτό, Αἰγυπτίο(υ)ς δὲ Ἄμασις. || Ἔγραφε δ᾽ (ʽ)αμὲ Ἄρχον (ʽ)Αμοιβίχο(υ) καὶ Πέλεϙος (ʽ)Ουδάμο(υ).

CIG. 5126. IGA. 482 *a*. Cf. Kirchhoff Alph.³ 35. Blass Herm. 13 (1878) p. 381 sq. Wiedemann Rhein. Mus. 35 (1880) p. 364 sqq. — Psammatichum regem non primum sed secundum, qui ineunte seculo sexto regnavit, intellegendum esse veri simile est.

IX. Tituli Rhodii
cum Gelensibus et Agrigentinis.

Titulos Camirensium, Ialysiorum, Lindiorum et eos, qui ad communem civitatem Rhodiorum a. 408 a. Chr. conditam pertinent, inter se non separavi, sed, quoad fieri potuit, ex temporum ordine omnes composui. Gelam a Rhodiis et Cretibus conditam esse, Agrigentum a Gelensibus narrat Thucyd. VI 4.

1. Tituli Rhodii.

175 In vase Camiri reperto.

ϙοσμία ἡμί· ἄγε δέ με Κλιτομίας.

IGA. 473. Kirchhoff Alph.³ 43. Aetas tituli est ea, qua literatura Ionica Rhodum occupare incipiebat, ante Ol. 47.

---

176 Camiri; nunc in museo Britannico.

Ἔδοξε Καμιρεῦσι· τὰς κτοίνας τὰς Καμιρέων τὰς | ἐν τᾷ νάσῳ καὶ τὰς ἐν τᾷ ἀπείρῳ ἀναγράψαι πάσας | καὶ ἐχθέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀθαναίας ἐ(ν) στάλᾳ | λιθίνᾳ χωρὶς Χάλκης· ἐξήμειν δὲ καὶ Χαλκήταις || ἀναγραφήμειν, αἴ κα χρήζωντι,

ἑλέσθαι δὲ ἄνδρας | τρεῖς αὐτίκα μάλα, οἵτινες ἐπιμεληθησεῦντι ταύ|τας τὰς πράξιος ὡς τάχιστα καὶ ἀποδωσεῦνται | τῷ χρῄζοντι ἐλαχίστου παρασχεῖν τὰν στάλαν | καὶ τὰς κτοίνας ἀναγράψαι καὶ ἐγκολάψαι ἐν τᾷ στά‖λᾳ καὶ στᾶσαι ἐν τῷ ἱερῷ τᾶς Ἀθάνας καὶ περιβολιβῶ|σαι ὡς ἔχῃ ὡς ἰσχυρότατα καὶ κάλλιστα· τὰ δὲ τε|λεύμενα ἐς ταῦτα πάντα τὸν ταμίαν παρέχειν. | Ἐγ δὲ ταυτᾶν τᾶν κτοινᾶν ἀποδεικνύειν τοὺς ‖ κτοινάτας μάστρον ἐν τῷ ἱερῷ τῷ ἁγιωτάτῳ ‖ ἐν τᾷ κτοίνᾳ κατὰ τὸν νόμον τὸν τῶν Ῥοδίων· | τοῦτοι δὲ συνλεγέσθων ἐν Καμίρῳ εἰς τὸ | ἱερὸν τᾶς Ἀθαναίας, ὅκκα τοὶ ἱεροποιοὶ παραγγ‖[έλλ]ωντι, καὶ ἀθρεόντω τὰ ἱερὰ τὰ Καμιρέων [τὰ δ]αμο[τελῆ πάντα αιτι....

Newton, Trans. Roy. Soc. Lit. Sec. Ser. XI (1878) p. 436 sqq., qui hunc titulum tribuit aetati, quae intercedebat inter conditam Rhodum urbem et initium regni Alexandri Magni.

1 κτοίνας: cf. Hesychius: κτύναι ἢ κτοῖναι· χωρήσης προγονικῶν ἱερείων, ἢ δῆμος μεμερισμένος. — 8 ΧΡΗΙΞΟΝΤΙ. — 10 sq. περιβολιβῶσαι: i. e. περιμολυβδῶσαι.

---

177 Ialysi, nunc in museo Britannico.

Ἔδοξε τοῖς μάστροις καὶ Ἰαλυσίοι[ς], | Στράτης Ἀλκιμέδοντος εἶπε· | ὅπως τὸ ἱερὸν καὶ τὸ τέμενος | τᾶς Ἀλεκτρώνας εὐαγῆται κα‖τὰ τὰ πάτρια, ἐπιμεληθήμειν | τοὺς ἱεροταμίας, ὅπως στᾶλαι | ἐργασθέωντι τρεῖς λίθου λάρτ|ου καὶ ἀναγραφῇ ἐς τὰς στάλα|ς τό τε ψάφισμα τόδε καὶ ἃ οὐχ ὅ‖σιόν ἐντι ἐκ τῶν νόμων ἐσφέ|ρειν οὐδὲ εἰσοδοιπορεῖν ἐς τὸ τέ|μενος, καὶ τὰ ἐπιτίμια τῶ[ι] πράσ|σοντι παρὰ τὸν νόμον· θέμειν δὲ | τὰς στάλας μίαν μὲν ἐπὶ τᾶς ἐσό‖δου τᾶς ἐκ πόλιος ποτιπορευομέ|νοις, μίαν δὲ ὑπὲρ τὸ ἱστιατόριον, | ἄλλαν δὲ ἐπὶ τᾶς καταβάσιος τᾶ[ς] | ἐξ Ἀχαΐας πόλιο[ς]. |

Νόμος, ἃ οὐχ ὅσιον ἐσίμειν οὐδὲ ‖ ἐσφέρειν ἐς τὸ ἱερὸν καὶ τὸ τέ|μενος τᾶς Ἀλεκτρώνας· μὴ ἐσί|τω ἵππος, ὄνος, ἡμίονος, γῖνος | μηδὲ ἄλλο λόφουρον μηθέν, μη|δὲ ἐσαγέτω εἰς τὸ τέμενος μη‖θεὶς τούτων μηθέν, μηδὲ ὑποδή|ματα [ἐσ]φερέτω μηδὲ ὕειον μη|θέν· ὅτι δέ κά τι[ς] παρὰ τὸν νόμον | ποιήσῃ, τό τε ἱερὸν καὶ τὸ τέμενος | καθαιρέτω καὶ ἐπιρεζέτω ἢ ἔνο|χος ἔστω τᾷ ἀσεβείᾳ· εἰ δέ κα | πρόβατα

εἰσβάλῃ, ἀποτεισάτω ὑ|πὲρ ἑκάστου προβάτου ὀβολὸν | ὁ ἐσβαλών· ποταγγελλέτω δὲ | τὸν τούτων τι ποιεῦντα ὁ χρῄ||ζων ἐς τοὺς μάστρους.

Newton, Trans. Roy. Soc. Lit. Sec. Ser. XI (1878) p. 142 sqq., qui hunc titulum eidem aetati tribuit cui praecedentem.

---

178 Prienae.

............ληται Κάριον κα[ὶ τ]ὰμ [περὶ | αὐτὸ χώ]ραν ἐπείμειν Πριανέων· τὰν δὲ ἀπόφα[σιν | δόντ]ες ὑπὲρ τούτων καὶ ποιήσαντες ἀντίγραφα [δ]ύ[ο], ἐδώκαμεν τὸ μὲν ἓν τοῖς πρυτάνεσι τοῖς Σαμίω[ν], || Πρωτομάχῳ Τρίτωνος, Σιμαλίωνι Εὐ[φ]ράνορος, Θεο|μνήστῳ Ἰσοκράτευς, Ἡγεπόλει Ἀντιπάππου, Λυσιμά|χῳ Διονυσίου, καὶ τῷ γραμματεῖ τᾶς βουλᾶς Μενίπ||[π]ῳ Κλέωνος, ὡς μὲν Ῥόδιοι ἄγοντι, ἐπὶ ἱερέως Πρατο||γένευς, ὡς δὲ Σάμιοι]........................

CIG. 2905, 5 (*E*). Le Bas, Voy. arch. III n. 189 (= Explic. p. 74). Papadopoulos Kerameus, Mitteil. arch. Inst. V (1880) p. 339. — De controversia, quae fuit inter Samios et Prienenses, egit Waddington l. l. 73. Hic titulus continet iudicium a Rhodiis latum seculo a. Chr. tertio post mortem Lysimachi regis (281 a. Chr. Cf. 179 *a* 4. *b* 2. 8).

2 ΙΑΝ. — 4 ΔΕΔΩΚΑΜΕΝ.

---

179 Prienae.

a

Σάμον ἀρεδ....α τόνδε καὶ καθ' ὃν καιρὸν............| ἐπιστολὰς ὑπὸ Ἁγησάρχου, ἐν αἷς ὑπὲρ μὲν ἰδιω[τικῶν ἀμφισβασιῶν ἐλέγετο, ὑπὲρ δὲ Δρυούσσας] | καὶ τᾶς περὶ τὸ Κάριον χώρας οὐθεὶς ἀμφεσβάτει· [νῦν δὲ τοὺς Σαμίους ἀντιλέγειν πρὸς τὸν ἀφορισμὸν] | τὸν Ῥοδίων, ἐγκαλεῦντας, ὅτι χώρας τε πλῆθο[ς ἀφωρίξαντο Πριανεῦσι παρὰ τὸ δίκα]ιον [καὶ μάλιστα τὸ] || Κάριον, ὑπὲρ οὗ νῦν διακρίνεσθαι· οἱ δὲ Σάμιοι τά τε [τῶν ἱστ]ο[ρι]ο[γράφων μαρτύρια ὑφαγ]ήσαντο, | καθ' ἃ καὶ ἐπὶ τὰς κρίσιος τὰς ὑπὲρ τοῦ Βατινήτου, ἀπὸ [τούτων π]ειρού[μενοι] δεικνύειν, διότι | τὸ Κάριον καὶ ἁ περὶ τοῦτο χώρα αὐτοῖς ἐπικλα[ρωθείη, καὶ καθ' ὃν και]ρὸν δια-

ροῦντο τὰν τῶν Μελιέων | χώραν, λαχεῖν αὐτοὶ Κάριον καὶ Δρυοῦσσαν κ[ατὰ τὰ ἐν ταῖς ἐπ]ιγραφομέναις Μαιανδρίου τοῦ Μι[λησίου ἱστορίαις καταχεχωρισμένα, διότι λάχοιε[ν Κάριον καὶ Δρ]υοῦσσαν· μετά τε τὰν παράταξιν || τὰν γενομέναν αὐτοῖς ποτὶ Πριανεῖς ἐπὶ Δρυΐ, καὶ [πᾶσαν] ταύταν τὰν χώραν ἐν ταῖς συνθήκαις | αὐτῶν γενέσθαι· ὁρίξασθαι γὰρ ποτ' αὐτούς· ὡς υδ.....οντο ἱστοριογράφους τοὺς μαρτυ[ροῦντας [αὐτοῖς], ὅτι μὲν τὸ Κάριον (ἔ)λαχον μετὰ τὸν Μαιάνδριον, ὅτι διωρίξαντο ποτὶ τοὺς | Πριανε[ῖς, τ]ῶν Ῥοδ[ίων Εὐ]άγωνά τε καὶ Ὀλύμπιχον [καὶ] ..λοχριν· [τὸ] δὲ Κάριον ἔφασα[ν εἶμει]ν αὐτῶν κατὰ | ....

b

ἐκπεσεῖν μὲν Καρσί, [τὰ δὲ δαμ]όσια καὶ .... [καὶ ταῦτα ἐγένετο ἐπὶ στεφαναφό]|ρου Λύκου, ὅς ἐστι ἀπὸ Μακαρέως τέταρτος. Ποτὶ δὲ τὸν Λυσίμαχον ἀγ[αγόντων τὰν ἀμφισβασίαν ἐπὶ στε]|φαναφόρου τοῦ θεοῦ τοῦ μετὰ Νίκανδρον, ὅς ἐστι ἀπὸ Λύκου πεντε[καιδέκατος, τὰν περὶ τοῦ Βατινήτου, καὶ] | ἐχόντων αὐτῶν καὶ τὸ φρούριον καὶ τὰς χώρας τᾶς περὶ τὸ φρούριον [τὸ πλεῖστον ἔτη μάλιστα διακόσια?]|| καὶ δύο, οὐκ ἀγανακτῆσαι τοὺς Σαμίους οὐδ' ἀποστεῖλαι ποτ' αὐτοὺς π[ερὶ τούτων, ἐμμένοντας τοῖς διω]|κημένοις, ἀλλὰ ἀμφισβασίας μὲν ποθ' αὐτοὺς ἰδιωτικὰς γεγόνειν, [περὶ δὲ τοῦ φρουρίου οὐκ ἀμφισ]|βατήκειν τοὺς Σαμίους, ἀλλὰ τοὐναντίον ἐν τῷ ποτὶ Λυσίμαχον ἀκού[σματι συγκεχωρήκειν ὅτι] | Πριανεῖς ἔχοντι τὰν αὐτῶν χώραν. Μετὰ δὲ τὰν αναφερομέναν [ἐπὶ Λυσίμαχον δίκαν αὖθις δια]|γενομένων ἐτῶν πλειόνων, βασιλεύοντος Ἀντιόχου τοῦ Ἀντιόχου [τοῦ προσαγορευθέντος Θεοῦ, περὶ τού]|των] πέμψαι ποτ' αὐτοὺς Σαμίους [πρέσβεις λέγοντας, ὅτι] ἐν παρορία[ι].......... | ....θα περι .... | ....τ........ | ....[Ἀντίο]χον τὸμ βασιλῆ ὑπὲρ τᾶς κρίσιος....... | ....[Σ]άμον ἔ[χ]οντας καὶ πάλιν ἐπ' Ἀντιόχου τοῦ βασιλέως || [πέμψαντας πρέσβεις τοὺς καταγοροῦντας Πριανέων περὶ τ]οῦ παρορίζεσθαι ταγ χώραν, ὑπὲρ τοῦ φρουρίου τού|[του οὐκ ἀμφισβατήκειν. Χρόνῳ δὲ ὕστερον καὶ πρὸς Ἀν]τίοχον τὸν ὑπὸ βασιλέως Πτολεμαίου τεταγμένον | [ἐπὶ τῶν πόλεων τοὺς Σαμίους περὶ τούτου τοῦ φρουρίο]υ οὐθὲν εἰρηκότας. Καὶ διὰ τὰς ἄλλας αἰτίας τὰς κατα|[κεχωρισμένας

ὑπὸ Πριανέων. συγχωροῦντες αὐτοὺς ἀ]φ' οὗ τὰμ πόλιν οἰκοῦντι παραδεικνύντας, ὅτι καὶ τὸ φρούριον | [καὶ τὰν περὶ τὸ φρούριον χώραν ἔχοντι, γινώσκομεν π]άντα δίκαια τὰ εἰρημένα ὑπὸ Πριανέων καὶ κατακεχ[ωρισμέ||να, καὶ κρίνομεν τὸ φρούριον τὸ ἀμφισβατούμενον καὶ τὰν περὶ] τὸ φρούριον χώραν εἶμειν Πριανέων. | Ὅρους δὲ ἀπεδείξαμεν τᾶς τε Σαμίας καὶ Πριανίδος χώρας ἀρχόμενοι, ὡς μὲν Σάμιοι ποταγορεύοντι, ἀπὸ τῶν | κατὰ Σανιδείαν τόπων, ὡς δὲ Πριανεῖς, ἀπὸ Θινίχου πάγου, τὸν πρᾶτον λόφον τὸν πετρώδη, τὸν ὑπερκεί|μενον ὑπὲρ τὰ ἐργάσιμα, ἐφ' οὗ καὶ ὅρον ἐπεκολάψαμεν· ἐφ' ὃν ἀνατείνει ἁ ἐκ τοῦ παρακειμένου ποταμοῦ | φάραγξ ἁ ἀναφέρουσα παρὰ τὰ ἐργάσιμα, ἇς μεταξὺ καὶ τοῦ προγεγραμμένου λόφου ἄλλον ὅρον ἐπὶ πέτρας || ἐπεκολάψαμεν· ὥστε τὰ μὲν ὑπὸ τὸν λόφον καὶ τὰμ φάραγγα καὶ τοὺς ἐπικολαφθέντας ὅρους εἶμειν Σαμίων, | τὰ δὲ ὑπὲρ τὸν λόφον καὶ τὰν φάραγγα καὶ τοὺς ἐπικολαφθέντας ὅρους εἶμειν Πριανέων. Ἀπὸ δὲ τοῦ λόφου τοῦ | πράτου ἀποδειχθέντος, ὅς ἐστι ὑψηλότατος, ἄλλον ὅρον ἐπεκολάψαμεν ἐν τῷ καταλήγοντι τοῦ λόφου· ἀπὸ δὲ τούτου | ἐπ' εὐθείας ἄλλον ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτου ἐπ' εὐθείας πάλιν ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτων ἐπ' εὐθείας ἁ φάραγξ | ὁρίζει ἔστε τὸν ὅρον ὃν ἐθήκαμεν παρὰ τὰν φάραγγα· ἀπὸ δὲ τούτου ἀναβαίνουσι ποτὶ τὸν πετρῶνα ἄλλον ὅρον || ἐπεκολάψαμεν εἰς τὸν πετρῶνα· ἀπὸ δὲ τούτου ἐν τῷ πετρῶνι ἄλλον ὅρον ἐπεκολάψαμεν· ἀπὸ δὲ τούτου, ὡς | παραφέρει παρὰ τὸν βουνόν, εἰς τὸ ἀπολῆγον αὐτοῦ ὅρους ἐπεκολάψαμεν· ἀπὸ δὲ τῶν ἐγκολάπτων ὅρων εἰς τὸν ἀπέ|ναντι βουνὸν τὸν λεπρὸν ἐθήκαμεν ὅρον, καὶ ἀπὸ τούτου παρὰ τὸν βουνὸν ἔστε καὶ τὰν φάραγγα ἐθήκαμεν ἄλλον ὅρον· ἀπὸ | δὲ τούτου [παρὰ τὰν αὐ]τὰν κατέναντι τοῦ ὄρευς διαβάντων τὸν ποταμὸν ἄλλον ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτου ἐπιστρέψαν||[τες] . . . .

. . . .

a est in CIG. 2905, 2 (*A*); apud Le Bas Voy. arch. III n. 190. 191 (Explic. p. 74 sq.). — *b* est in CIG. 2905, 3 (*B*). 4 (*C*). 1 (*D*); apud Le Bas Voy. arch. III n. 192—194 (Explic. p. 75 sq.). — Apparet ex v. 4 hunc titulum aetate inferiorem esse quam n. 178.

a 6 [π]ειρού[μενοι]: cf. τιμοῦντες n. 180, 10. τιμεῖν n. 199, 16. De his formis egit Bruell, Über den Dialect der Rhodier,

Leobschütz 1875, p. 18. — 9 ΛΑΧΟΙΣ. — 11 ὡς υδ: Boeckh suppleverat ὑ[φαγ]έοντο. Waddington scripsit ὡς • δ' [ἐπεφέρ]οντο.
b 9 Ἀντιόχου τοῦ Ἀντιόχου: Antiochus Deus Antiochi Soteris filius regnavit aa. 260—247. — 16 βασιλέως Πτολεμαίου: aut Ptolemaeus III Euergetes (aa. 247—222) aut Ptolemaeus IV Philopator (aa. 222—205) intellegendus est. — 29 ΟΡΙΞΕΙ.

---

180 [= 71] Ara Rhodo sub finem anni 1832 Venetias advecta.

[Ἀ]ρχερανιστὰς Ἁλιαστᾶν καὶ Ἁλιαδᾶν | [Δ]ιονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέ|τας, ἐπαινεθεὶς καὶ στεφανωθεὶς | ὑπὸ τοῦ κοινοῦ τοῦ Διονυσιαστᾶν | [ἐ]π' ἀρετᾷ χρυσέῳ στεφάνῳ || καὶ τιμαθεὶς εὐεργεσίᾳ καὶ ἀτελείᾳ | πάντων καὶ στεφανωθεὶς ὑπὸ τῶν συν|[ε]ρανιστᾶν τῶν εὐεργετηθέντων | ὑπ' αὐτοῦ χρυσέοις στεφάνοις | δυσὶ ἐν τᾷ τῶν Βαχχείων ὑποδο|χᾷ κατὰ τριετηρίδα, ἀνέθηκε | τριετηρίσι καὶ τῷ κοινῷ. || Καὶ ἐπαινεθεὶς καὶ στεφανωθεὶς | ὑπὸ τοῦ κοινοῦ τοῦ Πανιαστᾶν | θαλλοῦ στεφάνῳ καὶ στεφανωθεὶς | ἐπ' ἀρετᾷ χρυσέῳ στεφάνῳ ἀπὸ | χρυσῶν δέκα καὶ στεφανωθεὶς | πρᾶτος λευκαίας στεφάνῳ καὶ τιμ[α]|θεὶς εὐεργεσίᾳ καὶ ἀτελείαις δυσὶ | πάντων καὶ ἀναγορεύσει τὰν τιμὰν | ἐπὶ τῶν τόπων εἰς τὸν ἀεὶ χρόνον | καὶ ἀρχερανιστήσας ἔτη δέκα ὀκτὼ | ἐπαύξησε τὸν ἔρανον. ||

Ἀρχερανιστὰς | Διονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέτας, | ἀρχερανιστήσας Ἁλιαστᾶν καὶ | Ἁλιαδᾶν ἔτη ιη' ἐξὰν καὶ ἐπαυξήσας | τὸν ἔρανον ἐπανέθη καὶ ἐστεφανώθη || ὑπὸ τοῦ κοινοῦ τοῦ Ἁλιαστᾶν καὶ Ἁλιαδᾶν | πρᾶτος θαλλοῦ στεφάνῳ καὶ | στεφανωθεὶς ἐπ' ἀρετᾷ χρυσέῳ | στεφάνῳ καὶ τιμαθεὶς εὐεργεσίᾳ | [κ]αὶ ἀτελείᾳ πάντων, ἀνέθηκε || [Διο]νύσῳ Βαχχείῳ καὶ τῷ κοινῷ. | Καὶ τιμαθεὶς εἰς τὸν ἀεὶ χρόνον | ἐπαίνῳ, χρυσέῳ στεφάνῳ | [κ]αὶ λευκαίας στεφάνῳ κα[ὶ] | ἀναγορεύσει τὰν τιμὰν || ἐν ταῖς συνόδοις καὶ ταῖς | ἐπιχύσεσι ἐπὶ τῶν τόπων | εἰς τὸν ἀεὶ χρόνον. ||

[Ἐ]π' ἱερέως Δαμαινέτου, Διοσθύου δωδεκ[ά]τᾳ, Βουλαγόρας Ῥόδιος εἶπε· ἐπειδὴ | [Δ]ιονυσόδωρος Ἀλεξανδρεὺς εὐεργέτ[ας] | τοῦ κοινοῦ ἐρανίζων ἔτη τριάκοντα || πέντε ἀνὴρ ἀγαθὸς ὢν διατελεῖ περὶ τ[ὸ] | πλῆθος τὸ Ἁλιαδᾶν κα[ὶ Ἁλιασ]τᾶν, καὶ πο[λ|λ]ὰς καὶ μεγάλας χρείας παρείσχηται τῷ κ[οι]|νῷ· ὅπως οὖν καὶ Ἁλιάδαι καὶ Ἁλιασταὶ το[ὺς | ἀ]γαθοὺς ἄνδρας καὶ ζῶντας καὶ μεταλλ[ά]|ξαντας τὸν βίον φαί-

νωνται τιμοῦντες κ[αὶ] | καταξίας χάριτας ἀποδιδόντες τοῖς προαί[ι|ρ]ουμένοις εὐεργετεῖν τὸν ἔρανον καὶ καλ[ὰν | ἀ]πόδειξιν ἐμ πᾶσι πεποιημένοις· τύχᾳ | [ἀ]γαθᾷ δεδόχθαι τῷ κοινῷ τῷ Ἁλιαδᾶν κ[αὶ Ἁ]|λιαστᾶν, κυρωθεισᾶν τᾶνδε τᾶν τιμᾶν ἐπα[ι-νέ|σαι καὶ στεφανῶσαι Διονυσόδωρον Ἀλεξα[ν]|δρῆ εὐεργέταν τοῦ κοινοῦ εἰς τὸν ἀεὶ χρόν[ον] | χρυσέῳ στεφάνῳ τῷ ἐκ τοῦ νόμου μεγίστω[ι]· | καὶ ὁ γραμματεὺς ἀναγραψάτω τὰ δό-ξαντα, || ὁ δὲ ἀρχερανιστὰς καὶ τοὶ ἄρχοντες οἵ τε ἐν[ε]|στακότες καὶ οἱ μετὰ ταῦτα ἀεὶ αἱρούμενοι ἐπ[ι]|μέλειαν ποιείσθωσαν, ὅπως ἐξαιρῆται αὐτῷ[ι] | εἰς στέφανον καθ' ἑκάσταν σύνοδον τριώβολο[ν]· | ὑπαρχέτω δὲ αὐτῷ τὰ τίμια καὶ μετ-αλλάξα[ν]||τι τὸν βίον. Καὶ ὅπως ἕκαστα γίνηται κατὰ τόδ[ε]| τὸ ψάφισμα καὶ κατὰ τοὺς νόμους καὶ ἀναγο||[ρ]εύηται ἁ στε-φάνωσις αὐτοῦ ἐν ταῖς συνό|δοις τᾷ δεύτερον ἁμέρᾳ μετὰ τὰ ἱερά, ἐπιμέλει|[α]ν ποιείσθων ὅ τε ἀρχερανιστὰς καὶ τοὶ ἄρχον||τες ἀεὶ τοὶ ἐν ἀρχᾷ ἐόντες. Καὶ ὁ ἐπιστάτας τοῦ | κοινοῦ ἢ ὁ ἱεροκᾶρυξ ἀναγορευέτω τὸ κάρυ|γμα τόδε· τὸ κοινὸν τὸ Ἁλιαδᾶν καὶ Ἁλιαστᾶν | ἐτίμασε εἰς τὸν ἀεὶ χρόνον Διονυσόδωρον | Ἀλεξανδρῆ εὐεργέταν τοῦ κοινοῦ ἐπαίνῳ, || χρυσέῳ στεφάνῳ, δίδωτι δὲ αὐτῷ τὰς τι|μὰς καὶ ζῶντι καὶ μεταλλάξαντι τὸν βίον | ἀρετᾶς ἕνεκα καὶ εὐνοίας, ἃν ἔχων διατελεῖ | εἴς τε τὰ κοινὰ καὶ τοὺς αὐτοῦ ἐρανιστάς. Ἐπε[ὶ] | δέ κα μεταλλάξῃ τὸν βίον, τὸ ἐξαιρούμε-νον || αὐτῷ εἰς τὸν στέφανον εἰς τὸν ἀ|εὶ χρόνον λαμβανόντω ὅ τε ἀρχε|ρανιστὰς καὶ τοὶ λογισταὶ καὶ ὁ ἐπι||στάτας, οἵ κα ἀεὶ ἐν ἀρχᾷ ἔωντι· καὶ | πριάσθων στέφανον καὶ διλί-μνιον | καὶ ἀναγορεύσαντες τᾷ δεύτερον | ἁμέρᾳ τᾶν συνόδων ἀποδόσθων κα|ὶ ὃ εὗρον καταβαλέτω εἰς τὸ κοινὸν || ὁ ἐπι-στάτας ἐν τῷ συλλόγῳ ἐν τῷ | ἐχομένῳ μηνὶ τᾶν συνόδων, καὶ ὁ | γραμματεὺς ἀναγραψάτω εἰς τοὺς | ἀπολόγους· Διο-νυσοδώρου εὐεργέ|τα στεφανωθέντος χρυσέῳ στε||φάνῳ εἰς τὸν ἀεὶ χρόνον, στεφάνου | τοῦ πραθέντος. Ὑπάρχειν δὲ αὐτῷ | τὰν ἀναγόρευσιν καὶ στεφάνωσιν | καὶ ἐπὶ τῶν τάφων ἐμ μηνὶ Ὑακινθί|ῳ καὶ μεταλλάξαντι τὸν βίον, καὶ || ποείσθων τὰν ἐπιμέλειαν ὁμοίως | ὅ τε ἀρχερανιστὰς καὶ τοὶ ἄρχοντες οἱ μετὰ ταῦτα ἀεὶ αἱρούμενοι· τὸ δὲ ἐ|ξαιρούμενον αὐτῷ ἐν τῷ μηνὶ || τῷ Ὑακινθίῳ εἰς στέφανον εἰς τὸν ἀεὶ χρόνον | καταχρείσθων τοὶ ἄρχοντες καθ' ἕκαστον | ἐνιαυτὸν εἰς τὸν στέφανον τὸν ἀναγορευό|μενον ἐπὶ τάφοις μεταλλάξαντος αὐ-

τοῦ | τὸν βίον, καὶ στεφανούντω αὐτοῦ τὸ μναμεῖον. || Ὅτι δέ κα μὴ ποιήσωντι κατὰ τόδε τὸ ψάφισμα οἷς | ἕκαστα ποτιτέτακται, ὀφειλέτω τῷ κοινῷ ὁ μ[ὴ | πρά]ξας τι τῶν γεγραμμένων δραχμὰς ἑκατόν, | ἔνοχος δ' ἔστω καὶ τῷ νόμῳ ὡς κεῖται, εἴ τίς κα | κοινὸν ἀδικῇ, καὶ ἐξέστω* τῷ χρήζοντι τῶ[ν ἐ]|ρανιστᾶν ἀπογράψαι αὐτὸν τὸ ἐπιτίμιον. Τ[ὸ] | δὲ ψάφισμα τόδ[ε κ]ύριον ἔστω εἰς τὸν ἀεὶ χρ[ό]νον, καὶ μὴ ἐξέστω μήτε ἄρχοντι μήτε ἰδ[ι]|ώτᾳ μήτε κινεῖν μήτε γνώμαν γράψασθαι | μήτε τοῖς ἄρχουσι προτιθέμειν, ὡς δεῖ τὰς δ[ι]|δομένας τιμὰς Διονυσοδώρῳ ἀκύρους εἶ*|μειν· ἢ ὁ γράψας ἢ ὁ προθεὶς ἀποτεισάτω τὸ γε|γραμμένον ἐπιτίμιον δραχμὰς ἑκατόν, καὶ ἁ γνώμ[α | α]ὐτοῦ ἄκυρος ἔστω, καὶ ἔνοχος ἔστω τῷ νό|μῳ τῷ ἀκινήτῳ.

CIG. 2525 *b*. Hic titulus quatuor lateribus unius lapidis inscriptus est, sed non eo ordine versuum, qui cum conexu sententiarum congrueret. Itaque Boeckhium secutus singulas partes ita transposui, ut pristina continuatio verborum appareret. — Continentur hoc titulo varia decreta in honorem Dionysodori Alexandrini facta; is trium sacrorum collegiorum particeps erat, quorum unum Solem, alterum Panem, tertium Bacchum venerabatur.

108 **ΚΗ**, mutavit Boeckh. — 59 **ΕΘ**. — 90 ὅτι: ex apographo Franzii; v. Ahrens Dial. II 584. — 94 **I** litera deleta. — **ΧΡΗΙΣΩΝΤΙ**. — 100 fin. **Ν** litera deleta.

---

181 [= 44] Tabula marmorea opisthographa olim Venetiis asservata, ubi fragmentum eius anno 1844 exstabat.

Θεὸς τύχᾳ ἀγαθᾷ.

Ἔδοξε τῷ δάμῳ ἀγαθᾷ τύχᾳ· εὔξασθαι μὲν τοὺς ἱερεῖς καὶ | τοὺς ἱεροθύτας τῷ Ἁλίῳ καὶ τᾷ Ῥόδῳ καὶ τοῖς ἄλλοις θεοῖς | πᾶσι καὶ πάσαις καὶ τοῖς ἀρχαγέταις καὶ τοῖς ἥρωσι, ὅσοι ἔχοντι | τὰν πόλιν καὶ τὰν χώραν τὰν Ῥοδίων, συνενεγχεῖν Ῥοδίοις καὶ || Ἱεραπυτνίοις τὰ δόξαντα περὶ τὰς συμμαχίας· ἐπιτελε[σ]τᾶν δὲ | τᾶν εὐχᾶν γενομενᾶν θυσίαν καὶ πόθοδον ποιήσασθαι, καθά | κα δόξῃ τῷ δάμῳ. Κυρωθείσας δὲ τᾶς συμμαχίας καὶ τῶν | ὅρκων συντελεσθέντων κατὰ τὰ γεγραμμένα ὑπάρχειν συμμα|χίαν ποτὶ τὸν δᾶμον τὸν Ῥοδίων καὶ

συνεργεῖν Ἱεραπυτνίους || τῷ δάμῳ τῷ Ῥοδίων καὶ πόλιν καὶ λιμένας καὶ ὁρματήρια | παρέχει(ν) καὶ εὔνους καὶ φίλους καὶ συμμάχους ὑπάρχειν εἰς | τὸν ἅπαντα χρόνον· καὶ εἴ τίς κα ἐπὶ πόλιν ἢ χώραν στρατεύ|ηται τὰν Ῥοδίων ἢ τοὺς νόμους ἢ τὰς ποθόδους ἢ τὰν καθεστα|κυῖαν δαμοκρατίαν καταλύῃ, βοαθεῖν Ἱεραπυτνίους Ῥοδίοις || παντὶ σθένει κατὰ τὸ δυνατόν. Εἰ δέ κα ὁ δᾶμος ὁ Ῥοδίων | μεταπέμπηται συμμαχίαν παρὰ Ἱεραπυτνίων, ἀποστελλόντων | τὰν συμμαχίαν Ἱεραπύτνιοι ἐν ἁμέραις τριάκοντα, ἀφ' ἇς | κα παραγγείλωντι Ῥόδιοι, ἄνδρας διακοσίους ὅπλα ἔχοντας, εἴ | κα μὴ ἐλασσόνων χρείαν ἔχωντι Ῥόδιοι· τῶν δὲ ἀποστελλομέ||νων ἐόντων μὴ ἐλάσσους τῶν ἡμίσων Ἱεραπύτνιοι· εἰ δέ κα | πόλεμος περιέχῃ Ἱεραπυτνίους, ἀποστελλόντων ὅσους κα* δυ|νατὸν ἦ αὐτοῖς. Τοῖς δὲ πεμπομένοις παρὰ Ἱεραπυτνίων παρ|εχόντων Ῥόδιοι πορεῖα εἰς τὰν διακομιδὰν τὰν ἐκ Κρή|τας | εἰς Ῥόδον· καὶ εἰ μέν κα τὰ(ν) συμμαχίαν μεταπέμπωνται || Ῥόδιοι ἐν τέσσαρσι τοῖς πράτοις ἔτεσιν, ἀφ' ἇς κα παρα|γένωνται ἁμέρας εἰς Ῥόδον οἱ σύμμαχοι, διδόντων ἑκάστω | ἀνδρὶ Ῥόδιοι ἑκάστας ἁμέρας ἐννέ' ὀβολοὺς ῥοδίους, τοῖς δὲ | ἁγεμόσι ἀγουμένοις ἑκάστῳ ἀνδρῶν μὴ ἐλασσόνων πεντή|κοντα διδόντων ἑκάστῳ τὰς ἁμέρας ἑκάστας δραχμὰς δύο· εἰ || δέ κα μετὰ τὸν γεγραμμένον χρόνον μεταπέμπωνται Ῥόδιοι | τὰν συμμαχίαν, τὰ μὲν ἄλλα γινέσθω κατὰ ταὐτά, ἀφ' ἇς δέ κα | ἔλθωντι ἁμέρας τοὶ ἀποστελλόμενοι σύμμαχοι παρὰ Ἱεραπυ|τνίων εἰς Ῥόδον, παρεχόντων Ἱεραπύτνιοι τοῖς ἀποσταλ*εῖσι συμ|μάχοις τὰ ὀψώνια ἁμέρας τριάκοντα, τοῦ δὲ ὑπολ*οίπου χρόνου || διδόντων Ῥόδιοι καθὰ γέγραπται. Εἰ δέ κα συστᾶ(ι) πόλεμος Ῥο|δίοις ποτί τινα τῶν ἐν συμμαχίᾳ ἐόντων Ἱεραπυτνίοις, εἰ μέν | κα πολεμῶντ(α)ι Ῥόδιοι, ἀποστελλόντων τὰν συμμαχίαν Ῥοδίοις | Ἱεραπύτν(ι)οι, εἰ δέ κα πολεμῶντι κατάρξαντες πολέμου, μὴ ἐπά|ναγκες ἔστω Ἱεραπυτνίοις ἀποστέλλειν συμμαχίαν Ῥοδίοις. Εἰ || δέ κα ξενολογίου χρείαν ἔχωντι Ῥόδιοι, ἐκ Κρήτας παρεχόντων | Ἱεραπύτνιοι ἀσφάλειαν τῷ ξενολογίῳ ἐν τᾷ πόλει, παρεχόντων | δὲ καὶ ἐν τᾷ χώρᾳ καὶ ἐν ταῖς νάσοις ταῖς παρ' αὐτῶν κατὰ | τὸ δυνατόν, καὶ πάντα συνεργούντων εἰς τὸ συντελεσθῆμεν | Ῥοδίοις τὸ ξενολόγιον· ἄλλῳ δὲ κατὰ Ῥοδίων ξενολόγιον μηθενὶ || διδόντων παρευρέσει μηδεμιᾷ, μηδὲ στρατευέσθω Ἱεραπυτνίων | μηθεὶς κατὰ Ῥοδίων παρευρέσει μηδεμιᾷ, ἢ

ἔνοχος ἔστω τοῖς | ἐπιτιμίοις, καθάπερ εἰ ἐπὶ τὰν Ἱεραπυτνίων πόλιν ἐστρατεύετο, | χωρὶς ἢ ὅσοι πρὸ τᾶσδε τᾶς συνθήκας ἐξεστρατεύκαντι. Ταῖς δὲ | δυνάμεσι ταῖς ἀποστελλομέναις ὑπὸ Ῥοδίων πάντα συμπρασ||σόντων Ἱεραπύτνιοι κατὰ δύναμιν τὰν αὑτῶν, πᾶσαν πρόνοιαν | ποιούμενοι καθότι καὶ τῶν ἰδίων πολιτᾶν· καὶ εἴ κα συνιστᾶται | λαστήρια ἐν Κρήτᾳ καὶ ἀγωνίζωνται Ῥόδιοι κατὰ θάλασσαν | ποτὶ τοὺς λαστὰς ἢ τοὺς ὑποδεχομένους ἢ τοὺς συνεργοῦντας | αὐτοῖς, συναγωνιζέσθων καὶ Ἱεραπύτνιοι κατὰ γᾶν καὶ κατὰ || θάλασσαν παντὶ σθένει κατὰ (τὸ) δυνατὸν τελέσμασι τοῖς αὐ|τῶν· καὶ τοὶ μὲν λασταὶ τοὶ ἁλισκόμενοι καὶ τὰ πλοῖα αὐτῶν | παραδιδόσθω Ῥοδίοις, τῶν δὲ ἄλλων ἔστω τὸ μέρος ἑκάστῳ | τῶν συναγωνιξαμένων.

Κατὰ ταὐτὰ δὲ καὶ Ῥόδιοι ἐόντων | Ἱεραπυτνίοις εὖνοι καὶ φίλοι καὶ σύμμαχοι εἰς τὸν ἅπαντα || χρόνον, καὶ τοὶ ἄρχοντες τοὶ ἀποστελλόμενοι ὑπὸ Ῥοδίων | ἐπὶ τᾶν ναυτικᾶν δυναμίων ἐπιμελέσθω(ν) τᾶς πόλιος τᾶς | Ἱεραπυτνίων καθάπερ τᾶς ὁμοτελοῦς, πάντα πράσσοντες | τὰ ποτ' ἀσφάλειαν καὶ σωτηρίαν τᾶς πόλιος τᾶς Ἱεραπυτ|νίων. Καὶ εἴ τίς κα βασιλεὺς ἢ δυνάστας ἢ ἄλλος ὁστισοῦν || ἐπὶ πόλιν στρατεύ(ηται) τὰν Ἱεραπυτνίων, βοαθούντων Ἱεραπυτ|νίοις εἰς τὰν πόλιν παντὶ σθένει κατὰ τὸ δυνατόν. Εἰ δέ τίς | κα τὰς ἀπὸ τοῦ δικαίου γινομένας ποθόδους ἐκ θαλάσσας | παραιρῆται Ἱεραπυτνίων ἢ τὰν καθεστακυῖαν δαμοκρατίαν | παρὰ Ἱεραπυτνίοις καταλύῃ καὶ συμμαχίαν μεταπέμπωνται || Ἱεραπύτνιοι, ἀποστελλόντων Ῥόδιοι Ἱεραπυτνίοις τριήρεις δύο, | [τὰ δὲ τελεύμενα εἰς τὰς τριήρεις μηνῶν δύο διδόντων] Ῥόδιοι, [τοῦ δὲ ὑπο]λοίπου χρόνου δι[δ|όντων Ἱεραπύτνιοι εἰς ἑκατέραν τριήρ]η τοῦ μηνὸς ἑκάστου δραχμὰς μυρίας. Δ. Εἰ δέ κα πόλεμος περιέχ[ῃ | Ῥοδίους, ἀποστελλόντ]ων συμμαχίαν, ἄγ κα δυνατὸν ᾖ. Εἰ δέ κα πόλεμον ἐξενέγκωντι Ἱεραπύτνιο[ι | ποτί τινας ἄνε]υ τᾶς Ῥοδίων γνώμας, μὴ ἐπάναγκες ἔστω Ῥοδίοις ἀποστέλλει(ν) συμμαχίαν. Τὰν δὲ συ[μ]|μαχίαν ἀποστελλόντων Ῥόδιοι ἐν ἁμέραις τριάκοντα, ἀφ' ἇς κα παραγγείλωντι Ἱεραπύτνιοι, χωρὶς ἢ εἰ[ς] | τὸν ἐνεσταχότα Ἱεραπυτνίοις πόλεμον ποτὶ Κνωσίους καὶ τοὺς συμμάχους· εἰς δὲ τοῦτον μὴ συμμα|χούντων Ῥόδιοι Ἱεραπυτνίοις. Μὴ στρατευέσθω δὲ μηδὲ Ῥοδίων μηθεὶς κατὰ Ἱεραπυτνίων παρευρέσ[ει] | μηδεμιᾷ ἢ ἔνοχος ἔστω τοῖς ἐπιτιμίοις, καθάπερ

εἰ ἐπὶ τὰν Ῥοδίαν ἐστρατεύετο, χωρὶς ἢ ὅσοι πρὸ τᾶσδε [τᾶς] | συνθήκας ἐξεστρατεύκαντι. Εἰ δέ τινές κα τῶν ὑποδεχομένων τοὺς λᾳστὰς ἢ συνεργούντων α[ὐ]τοῖς, συστρατευσάντων Ἱεραπυτνίων Ῥοδίοις ἐπὶ τὰν κατάλυσιν τοῦ λᾳστηρίου, πόλεμον ἐξενέγκ[ων]τι Ἱεραπυτνίοις διὰ ταύταν τὰν στρατείαν, βοαθούντων Ῥόδιοι Ἱεραπυτνίοις παντὶ σθένει κατὰ τὸ δυ[να]τόν, καὶ ὁ ταῦτα πράσσων πολέμιος ἔστω Ῥοδίοις. Εἰ δέ κα ξενολογήσωντι Ἱεραπύτνιοι ἐκ τᾶς Ἀσίας εἰς ἴδι[ον] | πόλεμον, πάντα τὰ δυνατὰ συμπρασσόντων αὐτοῖς Ῥόδιοι εἰς τὸ ἀσφαλῶς διακομισθῆμεν τὸ ξενολόγι[ον] | εἰς Ἱεράπυτναν, ἄλλῳ δὲ κατὰ Ἱεραπυτνίων ξενολόγιον μηθενὶ συγκατασκευαζόντων Ῥόδιοι παρε[υ]ρέσει μηδεμιᾷ.

Ἐξέστω δὲ καὶ διορθώσασθαι τὰς συνθήκας, εἴ τί κα δοκῇ ἀμφοτέραις ταῖς πόλεσι δια πρεσβευσαμέναις ποθ᾽ αὑτάς· ἃ δέ κα κοινᾷ δόξῃ, ταῦτα κύρια ἔστω. Κυρωθείσας δὲ τᾶς συνθήκας ἑλ[έσ]θω ὁ δᾶμος παραχρῆμα ἄνδρας πέντε· τοὶ δὲ αἱρεθέντες μετὰ τῶν παραγεγενημένων ἐξ Ἱεραπύτν[ας] | πρεσβευτᾶν ὁρκιξάντων τὸν νόμιμον ὅρκον Ῥοδίους ἅπαντας τοὺς ὄντας ἐν ἁλικίᾳ, ἐμμενεῖν τᾷ συ(μ)μαχίᾳ | καὶ τᾷ συντάξει τᾷ γεγενημένᾳ τῷ δάμῳ ποτὶ Ἱεραπυτνίους ἀδόλως καὶ ἀπροφασίστως, εὐο[ρ]κεῦντι μὲν εὖ εἶμεν, ἐπιορκοῦντι δὲ τὰ sic ἐναντία. Κατὰ ταὐτὰ δὲ ὁρκιξάντων καὶ τοὺς πρεσβευτὰ[ς] | τοὺς παρὰ Ἱεραπυτνίων τοὶ πρυτάνιες παραχρῆμα ἐν τᾷ ἐκκλησίᾳ, ὅρκια δὲ παρεχέτω ὁ ἱερω... | τοὶ δὲ ταμίαι τελεσάντων τὸ ἐκ τοῦ νόμου γεγραμμένον. Ὅπως δὲ καὶ Ἱεραπύτνιοι ὀμόσωντι τῷ [δά]μῳ, ἑλέσθαι ἄγγελον· ὁ δὲ αἱρεθεὶς ἀφικόμενος ποτὶ Ἱεραπυτνίους ὁρκιξάτω αὐτούς, καθὰ καὶ Ῥοδί[ους] | γέγραπται ποιήσασθαι τοὺς ὅρκους, καὶ ἐμφανιζέτω τὰν εὔνοιαν τὰν ὑπάρχουσαν αὐτοῖς ‖ παρὰ τῷ πλήθει τῷ Ῥοδίων. Ὅπως δὲ καὶ τὰ δεδογμένα περὶ τᾶς συμμαχίας καὶ τᾶς συντάξιος ἀνα|γραφέντα εἰς στάλας φανερὰ ᾖ εἰς πάντα τὸν χρόνον, ὁ μὲν δᾶμος ἀναθέτω στάλαν ἐν Ῥόδῳ ἐν τ[ῷ ἱ]ερῷ τᾶς Ἀθάνας, τοὶ δὲ πωληταὶ ἀποδόσθων, καθά κα ὁ ἀρχιτέκτων συγγράψῃ, ὅπως ἐργασθῇ πέτρ[ας] | λαρτίας καὶ τὰ κεκυρωμένα περὶ τᾶς συμμαχίας ταῖς πόλεσι ἀναγραφῇ καὶ τεθῇ εἰς τὸ ἱερόν, μὴ [πλέ]ον τέλεσμα ποιοῦντες δραχμᾶν ἑκατόν· τὸ δὲ εὑρὸν τοὶ ταμίαι δόντων ἀπὸ τῶν κατὰ ψαφίσμα[τα] ‖ ἐκκειμένων. Ἀναγραψάντων δὲ καὶ Ἱεραπύτνιοι καὶ θέντων παρ᾽ αὐτοῖς ἐν τῷ ἱερῷ ὁπεῖ κα

δόξῃ Ἱεραπύτν[ας]. | Ἁιρέθη ἄγγελος ποτὶ Ἱεραπυτνίους Διογένης Ἀριστώνδα· ὄρχωται ἐν Ῥόδῳ | Ἱερόμβροτος Ἁγησιτίμου, Ἀριστόλοχος Πεισιστράτου, καθ' ὑοθεσίαν δὲ Ἀρχύλλου, | Τιμάρατος Νικοτίμου, Νικόμαχος Ἀριστάρχου, Σπαρτίων Φειδιάνακτος.

Naber Mnemos. I (1852) p. 79 sqq. Vv. 1—70 traditi sunt in codice quodam Ambrosiano, quem exscripsit Steinbuechel; vv. 71—103 ex ipso lapide descripsit Cobet. In eodem lapide exstant tituli Cretici nn. 117. 118. — Decretum Rhodiorum circa annum 220 a. Chr. factum esse probabile reddidit Naber l. l. 88.

5 ἐπιτελε(σ)τᾶν: ἐπιτελέων Cobet. — 14 βοεθειν Stbl. — 17 fin. ἧς Stbl. — 21 τα literae deletae. — 33 λ litera deleta. — 34 ὑπολλειπου Stbl. — 43 συντελεστημεν Stbl. — 65 βοεθουντων Stbl. — 68 παρειρηται Stbl. — 71 sqq. Quae uncis inclusa sunt, in lapide iam non vidit Cobet.

---

182 Tabula marmorea Rhodi reperta.

[Τὸν δεῖνα πρυτανεύσαντα οἱ συνάρξαντες]

[πρυτανεῖς]	[ταμίαι]
. . . . αρ	Ἀναξίλ[ας] . . . . . .
. . . . Ἁγησιστράτου	Δωρόθεος Νικαίου
[καθ' ὑο]θεσίαν δὲ Ἐξακέστου	Νικοκράτης Παυσίων[ος]
. . . στρατος Δαμοκλεῦς	Ἐμμενίδα[ς] Παυσία
. . . . σίλοχος Παυσία	Μένιππος Οὐλιάδου
[καθ'] ὑοθεσίαν δὲ Ἄνδρω[νος]	Νικόμαχος Ἐξακέστου
[Πυθ]όδοτος Πυθοδότου·	καθ' ὑοθεσίαν δὲ Εὐφράστου
γραμματεὺς βουλᾶς ·	Μενεκράτης Μενεκράτ[ευς]·
[Θεύ]προπος Θευφάνευς	γραμματεύς
[κα]θ' ὑοθεσίαν δὲ Θευφάνευς·	Τηλέμναστος Ἀνδρα. . . .
ὑπογραμματεὺς	καθ' ὑοθεσίαν δὲ Ἀρχιτ[έλευς]·
βουλᾶι καὶ πρυτανεῦσ[ι]	ἐπίσκοποι
[Ἀρι]σταγόρας Ἀρισταγόρα	Σωσικράτης Πλεισ[τ]. . . .
τοῦ Ἀρισταγόρα·	Δεινόμαχος Σιμ. . . . .
στραταγοί	Αἰνήσιος Ἀναξικ. . . . .
. . . . υχρέων Δαμοφίλου	Τελέστωρ Θευφά[νευς]
. . . . κράτης Πύθωνος	Τρίτυλλος Ἀναξα. . . .
. . . . αγόρας Πολυκλεῦς	γραμματεύς

[Λύ]σανδρος Τιμοκράτευς
. . . σιάναξ Ἀπολλοδότου
[κα]θ' ὑοθεσίαν δὲ Γόργωνος
. . . . Ιαγόρας Κλείνου
. . . . σιος Παναιτίου
. . . . στος Ἀλεξάνδρου
[ἐ]πὶ τὰν χώραν
. . . . ρίδας Δαμοκράτευς,
[ἐ]πὶ τὸ πέραν
. . . . ος Θαρσυβίου·
γραμματεύς
. . . . . Διοκλεῦς.

Ἐπιμένων Κλεάνακτο[ς]·
ἐπιμεληταὶ τῶν ξέ[νων]
Ἀριστομβροτίδας Ἀριστο. . . .
Εὔφαντος Παυσανίου
Σωκράτης Νυμφίωνος
Ἀντίπατρος Ἡρακλε. . . .
Φίλτατος Φιλτάτου
καθ' ὑοθεσίαν δὲ Θαρσίπ(π)ο[υ]·
γραμματεύς
Σιμίας Χαρμοκλεῦς·
ἁγεμὼν ἐπὶ Καύνου
Φιλιστίδας Ἀρχιπόλιος·
ἁγεμὼν ἐπὶ Καρίας
Θεαγένης Πιστοκράτε[υς]·
ἁγεμὼν ἐπὶ Λυκίας
Διοκλῆς Θευπρόπου·
θεοῖς.

Roehl, Mitteil. arch. Inst. II (1877) p. 224 sq. n. 2. — Titulum, quem intra annos 188—167 a. Chr. scriptum esse putat, in honorem primi inter sex prytanes positum esse demonstrat Roehl p. 226.

12 ΠΕΥΤΑΝΕΥΣ: ex πρυτανεῦσ[ι] Roehl colligit in titulo, quem edidit Ross Inscr. Gr. ined. 275, 17 non δάμῳ sed πρυτανεῦσι post καί supplendum esse; idem affert alia exempla huius formae in -εύς desinentis. — 25 init. Η. — 27 init. Σ. — 29. 31. 33 ἁγεμόνας tres imperio στραταγοῦ ἐπὶ τὸ πέραν subiectos fuisse putat Roehl.

---

183 In solo Lindi veteris.

Ἔδοξε μάστροις καὶ Λινδίοις, ἐπιστατᾶν [γνώμα]· | ἐπειδὴ ἐπιστάται αἱρεθέντες ὑπὸ Λινδίων | Ἀνάξανδρος Ἐ(ρ)άτωνος Κα(μ)ύνδιος, | Λυσίας Λυσικράτευς Λαδάρμιος, || καὶ τοὶ αἱρεθέντες ἄνδρες | * * * * * * | συναγωνίσασθαι ταῖς δίκαις | Εὔβουλος Εὐθυμάχου Ποσ. . ., | Παυσανίας Πολυτάλου Βράσιος, || Ἀστυμέδων Ἀνδροσθένευς Λινδοπολίτας, | Ἁγήσανδρος Πολυαράτου Ἀργεῖος, | Ἐπικράτης Ἁγησιδάμου Κλάσιος, | Τελέσων Δαμοσ[θέ]νευς Κλάσιος, | Φιλίων Ἀν-

δροσ[θέ]νευς Λινδοπολίτας, || Ἐπικράτης Παπ[ίωνο]ς Καμύνδιος, | Διδυμαχλῆς Μ....ου Λινδοπολίτας, | Ἁγησίλοχος Ἁγ[η]σάνδρου Κραττάβιος, | Ἀρχ(ί)νομος Φιλόφρονος Κλάσιος, | Ἀρχοκράτης Στρατοκλεῦς Βουλίδας, || Καλλίστρατος Νικοστράτου Νεττίδας, | Ἀλεξίμαχος Κλεανδρίδα Λαδάρμιος, | Ἀλεξίμαχος Μικύλου Λαδάρμιος, | Εὐκλῆς Ἁφαιστίωνος Ἀργεῖος, | Δεινίας Ἀνθαγόρα Λινδοπολίτας, || Καλλίγνωτος Δαμοσθένευς Κλάσιος, | Ἀριστόμαχος Ἀλεξάρχου Πεδιεύς, | Φαίνιππος Ἐπικράτευς Κλάσιος, | Νικαγόρας Ἀριστογένευς Νεττίδας, | Φιλοκράτης Δαμοκράτευς Λινδοπολίτας, || Κλεαγόρας Κομάτα Κλάσιος, | Ἁγησίστρατος Εὐδίκου Βουλίδας, | Πιστοκράτης Θευγένους Κλάσιος, | Ξενοφῶν Κλείτωνος Βρά- sic σιος, | Φαέθων Φιλοκράτευς Λαδάρμιος, || Ἀ[λκι]μέδων Φίλωνος Λινδοπολίτας, | Ὀνομαχλῆς Μελανθώπου Λινδοπολίτας, | Θεαίδητος Πολυχάρμου Νεττίδας, | ἄνδρες ἀγαθοὶ sic ἐγένο(ν)το, εὖ δὲ φυλάξαντες Λινδίο(ι)ς, ὅπως | ταὶ αἱρέσιες γίνωνται ἐν Λίνδῳ τῶν ἱερέων καὶ ἱεροθυτᾶν καὶ || ἱεροποιῶν καὶ τῶν ἄλλων (ἐ)πὶ τὰ (κ)οινὰ τασσομένων [εἰς εὐαρ]έσ[τησιν] | αὐτῶν Λινδίων, καθ' ἃ καὶ ἐν τοῖς νόμοις [γ]έγραπται, κα[ὶ μ]ὴ μετέ|χωντι τῶν ἐν Λίνδῳ ἱερῶν οἳ μὴ πρ(ό)τερον μετε(ῖ)χον· δεδό|χθαι μάστροις καὶ Λινδίοις, ἐπαινέσαι αὐτούς, ὅτι ἄνδρες | ἀγαθοὶ ἐγένοντο περὶ τὰ ἱ(ε)ρὰ τὰ Λινδίων, καὶ ἀναγράψαι τόδε τ[ὸ] || ψάφισμα ἐς στάλαν λιθίναν καὶ θέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀθάνας, | ὅπως πᾶσιν τοῖς ἐπιγινομένοις φανερὸν ᾖ, ὅτι Λίνδιοι τῶν [ἀ]γαθῶν ἀνδρ*ῶν μνᾶν ποιεῦνται ἐς τὸν ἅπαντα χρόνον· τὸ | δὲ ἀνάλωμα τὸ ἐς τὰν στάλαν καὶ ἀναγραφὰν ὁ ἱερεὺς [τᾶς] | Ἀθ(ά)νας τελεσάτω· ὅπως δὲ ἁ στάλα τεθῇ ἐς τὸ ἱερὸν τᾶς [Ἀ]θάνας, τοὶ ἐπιστάται ἐπιμεληθέντω τοὶ ἐν ἀρχᾷ ἐόντες.

Foucart, Rev. arch. N. S. 15 (1867) p. 204 sqq. n. 60 edidit ex apographo Barmanni medici Rhodi habitantis.

3 **ΕΑΓΟΝΟΣ**. — 4 **ΛΛΛΛΡΕΟΣ**. — 6—8 versuum ordo in apographo turbatus et v. 5 bis scriptus est. — 38 **ΣΥΔΑΦΥΛΑΤΑΝΤΕΣ**. — 42 **ΙΕΡΟΝ**. — 47 **Α** litera deleta. — **ΜΗΑΝ**, inde μνείαν Foucart. — 50 ἐπιμεληθέντω: immerito ν in fine addidit Foucart; cf. Bruell, Über den Dialect der Rhodier, Progr. Leobschütz 1875, p. 18.

184 Lindi in basi rotunda.

Λίνδιοι ἐτίμασαν | Μοιραγέν[η] Ἀρχοκράτε[υ]ς | καθ' ὑοθεσίαν δὲ Λυσιστράτο[υ] | ἐπαίνῳ, χρυσέῳ στεφάνῳ, || εἰκόνι χαλκέᾳ, προεδρίᾳ | ἐν τοῖς ἀγῶσι, σιτήσει | ἐν ἱεροθυτείῳ, | ἀρετᾶς ἕνεκα καὶ εὐνοίας | καὶ φιλοδοξίας [ἅ]ν ἔχων διατελεῖ || εἰς τὸ πλῆθος τὸ Λινδίων. |

Ἐπίχαρμος Σολεὺς ᾧ ἁ ἐπιδαμία δέδοται καὶ | Ἐπίχαρμος Ἐπιχάρμου Ῥόδιος ἐποίησαν.

Ross, Archäol. Aufs. II p. 589 n. 1.

---

185 Lindi in magna basi quadrata.

[Λίνδιοι ἐτίμασαν] | Ἀθανόδωρον Ἀγη[σ]άνδ[ρου] | καθ' ὑοθεσίαν δὲ Διονυσίου | ἐπαίνῳ, χρυσ[έ]ῳ στεφάνῳ | καὶ εἰκόνι χαλκέᾳ· || δεδώκαντι δὲ αὐτῷ καὶ ἀναγόρευσιν | τὰνδε τὰν τιμὰν εἰς τὸν ἀεὶ χρόνον | καὶ προεδρίαν ἐν τοῖς ἀγῶσι | καὶ σίτησιν ἐν ἱεροθυτείῳ καὶ στεφαναφορίαν | ἐν ταῖς παναγύρεσι καθ' ἕκαστον ἐνιαυτὸν || αἷς ἄγοντι Λίνδιοι, | εὐσεβείας ἕνεκα τᾶς ποτὶ τοὺς θεοὺς | καὶ ἀρετᾶς καὶ εὐνοίας καὶ φιλοδοξίας | ἃν ἔχων διατελεῖ εἰς τὸ πλῆθος τὸ Λινδίων | καὶ εἰς τὸν σύνπαντα δᾶμον.

Ross, Archäol. Aufs. II p. 610 sq. n. 21.

14 τὸν σύνπαντα δᾶμον: i. e. universam civitatem omnium Rhodiorum; cf. p. 116.

---

186 Fragmentum marmoris repertum prope Rhodum urbem.

Ἐπὶ ἱερέως Θευφάνευς, ἀρχερανιστᾶ | Μενεκράτευς Κιβυράτα, Ὑακινθίου | ἕκτᾳ ἐξ ἰκάδος, [τοίδ]ε τῶν ἐρανισ|τᾶν ἐπανγείλα[ντο] εἰς τὰν ἀνοι||κοδομὰν τοῦ τοίχου καὶ τῶν μνα|μείων τῶν πεσόντων ἐν τῷ σεισμῷ· | Μενεκράτης Κιβυράτας ἀνοικοδομήσειν τὸν τοῖχον | καὶ τὰ μναμεῖα τοῖς ἰδίοις ἀναλώμασι, τὸ δὲ πεσό[ν] | ἀργύριον ἐκ τᾶν ἐπανγελιᾶν ὑπάρξει τῷ κοινῷ· | . . . . .υδος δ'.

Papadopoulos-Kérameus, Bull. Corr. Hell. V (1881) p. 331 sq. n. 1.

---

187 Camiri.

Τιμα[κρά]της Τιμοθέου δαμιοργήσας | καὶ ἱεροποιοὶ | Τιμασιάναξ Δωριέως, | Ἀλεξιάδας Ἁγησίππου, || Ἄρχιππος Ὑνασάνδρου, | Ἑρμοκράτης Διογένευς, | Βουλακράτης Σωστράτου, | Πύθων Διογένευς, | Δαμαγόρας Δαμαγήτου, || Νικόπολις Ἁγησάνδρου, | Ἀγαθόκριτος Δωριέως, | Ἀριστωνίδας Ἀλεξιμάχου, | Μεγάσων Κριτοβούλου, | Νίκων Τελέσωνος, || [κ]αὶ ἀρχιαριστὰς Φιδίων Θεστία | καὶ ἱερεῖς Ἀθάνας Πολιάδος, Διὸς Πολιέως | Ἁγησικράτης Ἀριστοκράτευς, | Ἀπόλλωνος Πυθίου | Ἀριστόμαχος Ἀριστομαχίδα, || Ἀπόλλωνος Καρνείου | Θεύ[δι]ππος Ἀρχιδάμου, | Ποτειδᾶνος Κορητείου | Τελεσίας Καλλισθένευς, | Ἡρακλεῦς ..κρινις Τιμακράτευς, || Ἀφροδίτας Μενεκλῆς Ἀριστείδα· | ἀγωνοθέτας | Ἀλεξίμαχος Θηραΐδα, | θεοῖς.

Papadopoulos-Kérameus, Bull. Corr. Hell. V (1881) p. 337 n. 14.

1 **ΔΑΜΙΟΥΓΗΣΑΣ**, cf. δαμιοργοῦ n. 167, 8. 9. 169, 2, δαμιοργίῳ n. 166,7, et quae exposui ad n. 274; δαμιουργήσας exstat in titulo Camiri reperto, quem edidit Foucart Rev. arch. 14 (1866) p. 336 n. 59. — 3 **ΤΙΜΙΣΙΑΝΑΞ**. — 7 **ΣΟΣΤΡΑΤΟΥ**. — 12 **ΑΡΙΣΤΟΝΙΔΑΣ**. — 26 **ΑΓΩΝΟΘΕΤΑΙ**.

---

188 Rhodi.

Θευδαισίου ἕκτα | ἱσταμένου Ποτ|ειδᾶνι Φυταλμί|ῳ ὗς τέλεος || θοινῆται.

Jules Martha, Bull. Corr. Hell. II (1878) p. 615 n. 1.

---

189 Lindi in basi rotunda.

Ἀριστόλοχος Ἀριστοδώρου | καθ' ὑοθεσίαν δὲ Φιλτία, | ἱερατεύσας Ἀθαναίας Λινδίας | καὶ Διὸς Πολιέως || καὶ Ἀρτάμιτος τᾶς ἐν Κεχοίᾳ, | θεοῖς. |

Πυθόκριτος Τιμοχάριος [Ῥό]διος ἐποίησε.

Ross, Archäol. Aufs. II p. 594 sq. n. 3.
7 ΡΙΟΣ.

---

190 Lindi in magna basi quadrata.

Ζηνόδοτος Διοφάντου | τοῦ Ζηνοδότου | καθ' ὑοθεσίαν δὲ | Ὀνασάνδρου || γραμματεὺς μάστρων | ἱερατεύσας Ἀθάνας Λινδίας | καὶ Διὸς Πολιέως καὶ | Ἀρτάμιτος Κεκοίας.

Ross, Archäol. Aufs. II p. 604 n. 15.

---

191 Lindi in fragmento marmoris caerulei.

A

Ἱερεὺς Ἀθάνας Λινδίας
καὶ Διὸς Πολιέως
Κλητόδωρος Κλητοδώρου
καθ' ὑοθεσίαν δὲ Ἀμφιτιμίδα.

B

Ἀρχιεροθύτας
Τιμασαγόρας Τιμ...
Ἱεροθύτας
Κρίτων Δαμα....

Ross, Archäol. Aufs. II p. 604 sq. n. 16.

---

192 Tituli sepulcrales hominum privatorum.

1 Ἀγαθάνασσα | Ἀγαθοκλεῦς | Κασαρίς. — Ross Hellen. p. 103 n. 28.

2 Ἀναξαρέτα | Εὐφράνορος | Δρυΐτις, | γυνὰ δὲ | Εὐρυκράτευς. — Ross Hellen. p. 102 n. 25.

3 Ἀριστίωνος | Τιμασιπόλιος | Παγίου. — CIG. 2540. Ross l. l. 103 n. 29.

4 Νικασιβούλας | Ἀριστομένευς | Ποντωρηΐδος. — Ross l. l. 103 n. 27 *b*.

5 Νυμφόδοτος | Ῥοδοκλεῦς | Κασαρεύς. — Martha Bull. Corr. Hell. II p. 617 n. 7.

6 Πολυάρατος | Ἀριστίωνος | Ποντωρεύς. — Ross l. l. 103 n. 27 *c*.

7 Ποσειδώνιος | Εὐελθίδα | Δρυίτας. — Ross l. l. 102 n. 24.

8 Χρυσοῦς | Ἀστυμήδευς | Ποντωρηΐδος |
καὶ τοῦ ἀνδρὸς αὐτᾶς. — Ross l. l. 103 n. 27 *a*.

---

193 Rhodi.

Ὁ δᾶμος ὁ Ῥοδίων | ἐτίμασε | Γάιον Ἰούλιον | Θεύποντον Ἀρτεμιδώρου || ἀρετᾶς ἕνεκα καὶ εὐνοίας | ἂν ἔχων διατελεῖ | εἰς τὸ πλῆθος τὸ Ῥοδίων.

Foucart, Rev. arch. N. S. 13 (1866) p. 157 n. 9. Theopompus etiam in aliis titulis Asiae commemoratur, e. g. Le Bas Voy. arch. III 1572; cf. huius delectus n. 166.

---

194 Ansae vasorum prope Olbiam repertorum, quae Rhodo oriunda esse putantur.

1 (1) Ἀγοράνακτος. | Ἀρταμητίου. sic

2 (10) [Ἀστ]υνόμου | Ἱρωνύμου τοῦ | Ἱρωνύμου τοῦ |
[Π]οσειδονίου. | [Ἱ]στιαῖος.

3 (11) Ἐπ' ἱερέως Ξυνοφάνευς.

4 (13) Ἀρταμιτίου. | Ἀγαθοκλέ[ους].

5 (14) Ἀστυνομο(ῦ)ντος | Ἀριστοκλέους τοῦ |
Μαντιθέου. | [Μ]ενίσκος.

6 (17) Ἀστυνομοῦντ[ος Αἰ]λίου τοῦ Μην...

Neue Jenaische Lit.-Zeit. 1842 n. 180. — Literarum formae sunt aetatis Romanae. Nomina, quae vasis inscripta sunt, partim figulorum sunt partim magistratuum eponymorum partim mensium.

---

195 Ansae vasorum Rhodiorum Alexandriae in Aegypto repertae.

1 (I 37) Ἀσκλαπιάδα.

2 (I 58) Εἰρηνίδα.

3 (I 83) Θεύδωρος.

4 (I 86) Ἱεροκλεῦς.

5 (I 89) Ἶμα.

6 (I 96) Καλλίους.

7 (I 109) Μάνευς.

8 (I 114) Μενοθέμιος.

9 (I 163) Τίμους.

10 (II 2) Ἀρταμιτίου. Ἀγαθοκλεῖς.

11 (II 4) Ἐπὶ Ἀγαστοφάνευς. Δαλίου.

12 (II 12) Ἐπὶ Ἀλεξιάδα. Βαδρομίου.

13 (II 15) Ἐπὶ Ἀμφείδευς. Ὑακινθίου.

14 (II 20) Ἐπ' ἱερέως Ἀνδρία. Δαλίου.

15 (II 47) Ἐπὶ Ἀριστοπόλιος. Πανάμου.

16 (II 49) Ἐπὶ Ἀριστρατοδάμου. Ἀγριανίου.

17 (II 68) Ἐπὶ Ἀτίμους. Πανάμου δευτέρου.

18 (II 79) Ἐπὶ Δευφάνευς.

19 (II 83) Ἐπ' ἱερέως Δορκυλίδα.

20 (II 116) Ἐπὶ Κληνοστράτου. Ἀρταμιτίου.
Ἐπὶ Κλεινοστράτου. Δαλίου.

21 (II 117) Κλεισιμβροτίδα. Ἀγριάνιος.

22 (II 125) Ἐπ' ἱερέως Λαφείδευς. Δαλίου.

23 (II 129) Μαρσύα. Πεδαγειτνίου.

24 (II 167) Ἐπὶ Τειμαγόρα.
Ἐπὶ Τιμαγόρα. Ζμινθίου.

25 (II 170) Ἐπὶ Τιμασαγόρα. Ὑακινθίου.

26 (II 175) Ἐπ' ἱερέως Τιμορρόδου.
Ἐπ' ἱερέως Τιμουρρόδου. Ἀγριανίου.

27 (II 187) Ἐπὶ Χρυσαθέως. Πανάμου.

Edidit Τάσσος Δ. Νέρουτσος, Ἀθήναιον III (1874) p. 213—215. — Nomina vasis inscripta sunt aut figulorum aut sacerdotum eponymorum adiunctis mensibus. Literarum formas aetatis partim Macedonicae partim Romanae esse testatur Nerutsus p. 225.

---

2. Tituli Gelenses et Agrigentini.

196 Lamina aenea Olympiae reperta.

Παντάρες μ' ἀνέθεκ[ε] Μενεκράτιος Διὸ[ς ἆθλον]
[ἅρματι (?) νικάσας πέδο(υ) ἐκ κλε(ι)]το(ῦ) Γελοαίο(υ).

IGA. 512 *a*. — Purgold vidit Pantarem intellegendum esse patrem Cleandri et Hippocratis tyrannorum Gelensium (Hdt. VII 154), ita ut titulus seculo sexto exeunti recentior esse putari vix possit.

1 Μενεκράτιος: cf. Τιμοκράτιος n. 40, 166. Ἀγασικράτιος in titulo Calauriae reperto, Le Bas Voy. arch. II n. 1754.

---

197 In astragalo aeneo in Sicilia reperto, qui asservatur in Britannia.

Τὸν Γελῴον ἐμί.

CIG. 8521. IGA. 513.

---

198 [= 72] Marmor ad montem Leocatae sive Alicatae civitati proximum a. 1660 effossum.

Ἐπὶ ἱεραπόλου Ἀριστίωνος | τοῦ Ἱστιείου, κατενιαυσίου | Σώσιος τοῦ Νυμφοδώρου. |

Βουλᾶς ἁλίασμα τᾶ(ς) δευτέρας ἑξαμή||νου, Καρνείου τριακάδι· προστάτας | Ἱπποκλῆς Ἱπποκλέος· στεφάνου | γυμνασιάρχῳ. Ἔδοξε τᾷ ἁλίᾳ | καθὰ καὶ τᾷ βουλᾷ· ἐπειδὴ ὁ ᾑρη|μένος γυμνασίαρχος ἐς τὸν σᾶτες || ἐνιαυτὸν Ἡρακλείδας Ζωπύρου | ἐπιμέλειαν πεποίηται τῶν τε | ἐφήβων καὶ νεωτέρων καὶ τῶν | ἄλλων τῶν ἀποδυομένων εἰς τὸ | γυμνάσιον τά τε ἄλλα τὰ κατὰ τὸ || γυμνάσιον καλῶς διαπεπραγμέ|νος

ἐστὶ ἄξια πράσσων αὐτοῦ τε | καὶ τᾶς τῶν προ[γό]νων ἀρετᾶς. | καλῶς οὖν ἔχον ἐστὶ στε|φανῶσαι ἐν τᾷ ἁλίᾳ τὸν γυ||μνασίαρχον Ἡρακλείδαν Ζω|πύρου ἐλαίου στεφάνῳ ἐπιμε|λείας ἕνεκεν καὶ φιλοπονίας | τᾶς κατὰ τὸ γυμνάσιον. Τὸ δὲ | δόγμα τόδε κολαφθὲν εἰς στά||λαν ἀναθέμειν εἰς τὸ γυμ|νάσιον· εἰς δὲ τὰν κατασκευὰν | τᾶς στάλας ἐξοδιάξαι τὸ τρι|ακοντάμερον, καθά κα [ἁ] βουλὰ | καταναγραφήσῃ· || Ὁ δᾶμος τῶν Γελῴων ἐπαινεῖ | καὶ στεφανῷ τὸν γυμνασίαρχον | Ἡρακλείδαν Ζωπύρου ἐλαίου στε|φάνῳ ἐπιμελείας ἕνεκεν καὶ φι|λοπονίας τᾶς κατὰ τὸ γυμνά|σιον. |

Ἔφηβοι οἱ στεφανωθέντες· | Ἀσκλαπιάδας Ἀσκλαπιάδα, | Ἀρτέμων Εὐθύμου, | Ἄνταλλος Ἀντάλλου, || Πολύξενος Ἀγαθάρχου, | Πρώταρχος Πρωτάρχου, | Γελῷος Γοργύλου, | Ἀριστίων Νυμφοδώρου, | Σωσίπολις Ἰσιδώρου, || Νίκαρ(χ)ος Πυρρωνίδου, | Ἀπολλώνιος Σατύρου, | Ζώπυρος Ἡρακλείδα. χαιρ......

CIG. 5475. Decretum senatus et populi Gelensium, quod hoc titulo continetur, primo a. Chr. seculo antiquius putari non posse affirmat Franz.

28 ΑΚΟΝΤΑΜΕΡΟC. — 29 ΚΑΤΑΝΟΓΡΑΦΗCΗΙ: coni. aor. act. — 31 στεφανῷ: item scriptum est n. 156, 17. — 45 ΠΥΡΡΩΜΙΝΟΥ. — 46 CΑΤΡΡΟΥ. — 47 ΧΛΙΡ.

---

199 [= 73] Tabula aenea, quae nunc Neapoli in museo regio asservari dicitur.

Ἐπὶ ἱεροθύτα | Νυμφοδώρου τοῦ Φίλωνος, | παραπροστα(τούσας) τᾶς βουλᾶς, | προεδρευούσας τᾶς φυλᾶς || τῶν Ὑλλέων, προαγοροῦντος | Διοκλέος τοῦ Διοκλέος, | γραμματεύοντος Ἀδρανίωνος Ἀλεξάνδρου, | ἁλίασμα ἔκτας διμήνου, Καρνείου ἐξήκο[ν]τος πάντᾳ, | ὑπὲρ προξενίας Δημητρίῳ Διοδότου Συρακοσίῳ. ||

Ἔδοξε τᾷ ἁλίᾳ καθὰ καὶ τᾷ συνκλήτῳ· ἐπειδὴ ἀνάγ|γελλον οἱ πρέσβεες οἱ ἐς Ῥώμαν πορευθέντες, Πασίων | Πασίωνος Κότητος καὶ Θεόδωρος Θεοδώρου Ξηνιάδα, | Δημήτριον Διοδότου Συρακόσιον πολλὰς καὶ μεγάλας χρείας | παρεισχῆσθαι τῷ ἁμῷ δάμῳ καὶ μεγάλων ἀγαθῶν παραίτιον || γεγόνειν, τοῖς δὲ Ἀκραγαντίνοις πάτριόν ἐστι καὶ ἐκ

προγόνων | παραδεδομένον τιμεῖν τοὺς ἀγαθοὺς ἄνδρας καὶ προισταμέ|νους τοῦ ἁμοῦ δάμου ταῖς καταξίοις τιμαῖς· | δεδόχθαι (sic) ἐπὶ ἀγαθᾷ τύχᾳ καὶ σωτηρίᾳ τοῦ δάμου τῶν Ἀκραγαντίνων, | εἶμειν πρόξενον καὶ εὐεργέταν Δημήτριον Διοδότου Συρακόσι|ον, ὅπως πᾶσι φανερὸν ᾖ, ὅτι ὁ δᾶμος τῶν Ἀκραγαντίνων ἐπί|σταται χάριτας ἀπονέμειν καταξίας τοῖς εὐεργετεῖν προαι|ρουμένοις αὐτόν. Τὸ δὲ δόγμα τόδε κολάψαντας ἐς χαλκώ|ματα δύο τὸ μὲν ἓν ἀναθέμειν εἰς τὸ βουλευτήριον, τὸ δὲ | ἄλλο ἀποδόμειν Δημητρίῳ Διοδότου Συρακοσίῳ ὑπό|μναμα τᾶς ποτὶ τὸν δᾶμον εὐνοίας· τοὺς δὲ ταμίας | ἐξοδιάξαι ἐς τὰ προγεγραμμένα, ὅσον κα χρεία ᾖ, καὶ φέ|ρειν τὰν ἔξοδον διὰ τῶν ἀπολόγων. — | Ὁμογνώμονες τοῦ συνεδρίου πάντες.

CIG. 5491. — Hoc decretum a. 211 a. Chr. factum esse van Vaassenum secutus putat Franz.

12 Ξηνιάδα: Ahrens Dial. II 190 postulat Ξεινιάδα. — *14 παρεισχῆσθαι: cf. ad n. 132, 5. — ΠΑΡΑΙΤΙΟΣ.

---

200 Lamina aenea Dodonae reperta.

[Θεὸς] Τύχα ἀγαθά. | [Ἐπὶ π]ροστάτα Λευ|[χ]άρου, ἀφικομένω|ν Ἱπποσθένεος, Τεί|[σιο]ς, Ἕρμωνος, Σελί|νιος, ἔδοξε τοῖς | Μολοσσοῖς προ|ξενίαν δόμειν | τοῖς Ἀκραγαντί|νοις.

Carapanos, Dodone V n. 5 (p. 52) = tab. 28, 2. Repetiit Fick Bzb. Btr. III (1879) p. 271, qui titulum immerito dialecto Epirotarum adscripsit; nam ab homine Agrigentino aeri inscriptus esse putandus est propter δόμειν formam Rhodiam.

4 sq. Τεί[σιο]ς, Ἕρμωνος: ita Fick; Carapanos scripserat Τει|χέρμωνος; ab initio versus 5 exstat <.

---

201 Lamina plumbea Dodonae reperta.

A

Τύχα ἀγαθά. Ἦ τυγχάνοιμί κα ἐμπορευόμενος | ὅπυς κα δοχῇ σύμφορον ἔμειν καὶ ἄγων τῇ κα δοχῇ | ἅμα τᾷ τέχνᾳ χρεύμενος.

B

(in eodem latere literis debilioribus:)

Τὸν Δία τὸν Δωδωναῖον.

Carapanos, Dodone VI n. 18 (p. 78 sq.) = tab. 37, 4. Fick Bzb. Btr. III p. 284. — Titulum aut Rhodo aut ex aliqua colonia Rhodiorum ortum esse dialectus docet (ἔμειν, χρεύμενος). Itaque eum Agrigentum rettuli, quia constat Agrigentinos consilio Iovis Dodonaei usos esse; cf. n. 200.

PARS TERTIA.

TITULI GRAECIAE SEPTENTRIONALIS PRAETER THESSALIAM CUM ELEIS ET ACHAICIS.

Inter eas dialectos, quas hac parte comprehendi, Elea et Boeotica plurimum a ceteris differunt. De Achaica, Acarnanica, Epirotica dialectis certo iudicari non potest propter tenuitatem monumentorum, quae exstant. Aliquanto minus etiam compertum habemus, quali sermone indigeno Phthiotae, Aenianes, Oetaei usi sint; nam qui exstant tituli scripti sunt sub dominatione Aetolorum, quae quantum valuerit ad mutandum sermonem sociorum vidimus iam in titulis Laconicis n. 30. 32 et Messeniis n. 45. 47. Eadem causa effecit, ut dialectus titulorum Delphicorum recentiorum a vetustiorum dialecto non nihil differat. Nam Delphi foederi Aetolico subiecti fuerunt inde ab a. 290 usque ad a. 191 a. Chr. Cf. Buecher, De gente Aetolica Amphictyoniae participe (Bonnae 1870) p. 23; A. Mommsen, Philol. 24 (1866) p. 38. Atque etiam post hanc aetatem sermonem et instituta Aetolorum Delphis servata esse luculente confirmatur actis manumissionum, e quibus nonnulla exempla infra repetita sunt (n. 211 sqq.). De historia foederis Aetolici copiosius egerunt Kuhn, Rhein. Mus. 15 (1860) p. 9 sqq. et Buergel, Die pylaeisch-delphische Amphiktyonie, München 1877.

X. Tituli Delphici.

1. Tituli vetustiores.

202 Ara apud Crissam reperta.

Τάσδε γ' Ἀθαναίᾳ δ. . . . .σφα.|.αριστος ἔθεκε
Ἕρᾳ τε, ὅς καὶ κ|ε(ῖ)νος ἔχοι κλέϝος ἄπθιτον αἰϝεί.

CIG. 1. Kirchhoff, Philol. VII (1852) p. 191 sqq. Kaibel Epigr. Gr. 742. Roehl IGA. 314. Versus βουστροφηδὸν scripti sunt.

203 In saxo Delphis ad fontem Castalium reperto.

[Τ]ρὶ πεντεκαίδεκα | τον Λαδυαδαν τὸν | Θ[ρα]-
σύμαχον, καὶ [τ]αμ[ίαι] ἐπὶ Τριχᾶ ἄρχον[τος]
ἀπέδειξαν μνᾶ ς δεκατέτορες κα[ὶ] | ἐμιμναῖον
κα|ὶ δραχμὰς πεντ|έ[ϙ]οντα καὶ ϝέξ.

WF. 480. IGA. 319. — Sententia obscura.

1 [Τ]ρί: suppl. Fick, Göttg. gel. Anz. 1883 p. 122. — 6 δεκατέτορες: acc. plur. in -ες exiens etiam n. 264. 267. In titulo Delphico quarti seculi apud Le Bas Voy. arch. II 854 leguntur inter alios numeros: ὀδελοὺς τέτορας 10. 14. τετρόκον[τα] 16, ἡμιοδέλους χαλκέους τέτορας 26.

---

204 vide pp. 143—145.

---

2. Tituli sub dominatione Aetolorum scripti.

A. Decreta publica.

205 [= 82] Delphis in muro polygonio.

Θεοί.

Στραταγέοντος Ἀρχίσωνος, ἔδοξε τοῖς συνέδροις· | Ἀθανίωνι Πάτρωνος Δελφῷ τὰν ἀσφάλειαν εἶμεν | καὶ ἀτέλειαν πάντων καὶ ἀσυλίαν καὶ αὐτῷ καὶ τοῖς αὐτοῦ, | ἐπιμελομένῳ τᾶς πανοπλίας ἃν οἱ Ἀμφικτίονες ἀνα|τίθεντι καὶ τοῦ γυμνασίου καὶ τᾶς παστάδος τᾶς μεγά|λας καὶ τῶν ἐργαστηρίων καὶ τοῦ ναοποιίου ἐπιμελομένῳ· | εἶμεν αὐτῷ τὰν ἀσφάλειαν, καθώς κα οἱ σύνεδροι καὶ ὁ ἀρχι|τέκτων συντάσσοιεν, καὶ εἴ κά τις αὐτὸν ἀδικῇ, τοὺς ἀντι|τυγχάνοντας συνέδρους τὰν ἐπιμέλειαν ὑπὲρ αὐτὸν || ποιεῖσθαι.

WF. n. 1. Decretum Amphictyonum.

204 [= 81] Tabula marmorea musei publici Parisiensis.

[Π]υθέο(υ) ἄρχοντος ἐπὶ τῆς Ἱπποθ[ω]ντίδος τρίτης [πρυτανευούσης]......................
[Ὅρ]κο[ι]·
Δικα[ξέω τ]ὰς δίκας ὥς κα δ[ικ]αιοτάτα(ι) γνώμα [τὰ] μὲγ γε[γρ]αμ[μένα ...., περὶ ὧν δὲ μὴ γέ]-
γρα[πται, κ]ατὰ γνώμαν τὰν αὐτο(ῦ) καὶ [ἕτ]ερα ἀ[νὰ] τὰν δ[ίκ]αν οὐ ....[οὐδέ]-
ποκα· [κα]ὶ τὰ καταδικασθέντα ἐκπραξέω ἐν δ[ύ]νασιν [κα]ὶ τασα ....
τοιε.οντ.οὐδὲ τῶν χρημάτων τῶν ἀμφικτιονικῶν ὑπο[βαλέομαι οὐδέν ....αὐτῷ]
ἐμ[ὶν γ]α οὐδ' ἄλλῳ δωσ[ῶ] τῶγ κοινῶν χρημάτων ....ετ......................[ὀμνύω κὰτ]
τ[οῦ] Ἀπόλλωνος τοῦ Πυθίο(υ) καὶ τᾶς Λατο(ῦ)ς καὶ τᾶς Ἀρτάμι[τος, καὶ εὐορκέοντι μέμ μοι περὶ ταῦτα γίνοιτο πάντα τὰ κα]-
λὰ καὶ τἀγαθά, αἰ δ' ἐφιορκέοιμι, τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν ....[ὀμνύω .... τῶν γ]-
εγραμμένων μὴ ἀπογραψέν, ἀλλ' ὧν κὰ(τ) τὰ τοὶ ἱερομνάμονες κε[λευσόντι?]...........................
κ[ὰ](τ) τὰ[ν] ἀξίαν μηδὲ δῶρα δεξεῖ[σ]θαι μηδέπ[ο]κ[α], οὕτ[ω]ς ὑπ[ι]σχ[ό]μ[ενος ὀμνύω κὰτ τοῦ Ἀπόλλωνος τοῦ Πυθίου καὶ τᾶς Λα]-
τοῦ(ς) καὶ τᾶς Ἀρτάμιτος, καὶ εὐ[ορ]κέοντι μέμ μ[ο]ι πολλὰ καὶ ἀγαθὰ [γίνοιτο, αἰ δ' ἐφιορκέοιμι, τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν. Τὸς δὲ]
ἱερομνάμονας ὁρκιξέω καὶ τὸς κά[ρ]υκας τὸν αὐτὸν ὅ[ρ]κον, τόμ[περ καὶ αὐτὸς ὤμοσα?]....................
τὸμ φόρον καὶ τὰ ἱερήϊα ἀθρόα συναγόντων, τὸς ὄνος τὸν δοκιμα..........................[ἐπὶ τὰν ἐκ]-
ατόμβαν ὅ[ρ]κον ὀμόσας εἴπερ τοὶ ἱερομνάμονες, δοκιμαζέτω. Π[έροδος τᾶς ἱαρᾶς γᾶς· αἴ τίς κα τὰν γᾶν ἐπιερ]-
γάζ[η]τ[αι], ἃν Ἀμφικτίονες ἱάρωσαν, ἐπεί κ[α] ἁ πέροδος γίνηται, ἀποτ[ινέτω]..........................
στατῆρας Αἰγιναῖος κὰτ τ[ὸ] πέλεθρον ἕκαστον· τοὶ δὲ ἱερομνάμο[νες περιιόντων τὰν..........γᾶν.............]
καὶ π[ρασ]σόντων τὸν ἐπιεργαζόμενον· αἰ δὲ μὴ περιιεῖεν ἢ μὴ πρ[άσσοιεν, ἀποτινόντων πελέθρου ἑκάστου, οὗ μὴ περιῆεσαν?]

μηδὲ [ἔπ]ρασσον, τριάκοντα στατῆρας· αἰ δέ κα μὴ ἀποτίνῃ ὁ [ἱερομνάμων ὁ ὀφείλων, ἁ πόλις ἐξ ἇς κ' εἶ ὁ ἱερομνάμων,]
εἰλέσ[θω τ]οῦ ἱαροῦ, καὶ στρατευόντων ἐπ' αὐτὸς Ἀμφικτύονες, [κὰτ τά κα τοὶ ἱερομνάμονες ....ἐπαγγέλ]-
λωντ[ι. Ἐπὶ] τᾶς ἱερᾶς γᾶς κόπρον μὴ ἄγεν μηδεμίαν· οἰκήσιος ἐπι..............................
ενειδια . ἐπὶ θαλάσσᾳ, τὰς δὲ παστάδας κοινὰς εἶμεν πάντεσσι ....[μι]-
σθὸν μηδένα φέρεν μηδενὶ μηδ' ἐνοικὲν τὸν αὐτὸν πλέον τριάκ[οντα ἁμερὰν] ....
ἐνοικέ[ν] μηδεμίαν, μηδὲ μύλαν ἐνεῖμεν μηδὲ ὅλμον. Αἰ δέ τίς ....[τοὶ ἰ]-
αρομνά[μ]ονες ζαμιο(ύ)ντων, ὅτινί κα δικαίῳ σφιν δοκῇ εἶμεν ἐπ[ιζαμίῳ, τὸ δ' ἥμισυ τοῦ ἐπιζαμίου ἔστω τῶν?]
καταγ[γελ]λόντων πὸτ τὸς ἱαρομνάμονας. Λῶτις· ἁ λῶτις τᾶς ἀμφ[ικτιονικᾶς.......................στατῆρες]
Αἰγιναῖοι· τὸ δ' ἀμπέχονον πεντήκοντα καὶ ἑκατὸν στατῆρ[ες Αἰγιναῖοι· ....πορπαμά]-
των ἑκατὸν στατῆρες Αἰγιναῖοι· τᾶς στεφάνας ἑκατὸν στατ[ῆρες Αἰγιναῖοι]...........................
δέκα στατῆρες Αἰγιναῖοι· τᾶς ἀσπίδος διακάτιοι στατῆρες Αἰγ[ιναῖοι.............................στα]-
τῆρες Αἰγιναῖοι· λόφου πεντεκαίδεκα στατῆρες Αἰγιναῖοι· δόρατ[ος.........................στατῆρε]-
ς Αἰγιναῖοι· καὶ τὰ πορπάματα καὶ ἁ στεφάνα χρύσεα ἐόντων π[άντα]................................
ἐνέστω· [τ]οῦ βοὸς τιμὰ τοῦ ἥρωος ἑκατὸν στατῆρες Αἰγιναῖοι· τᾶς ....[στατῆρας Αἰγιναῖος]
ὀφειλέτω· χρηστήριον αἴ τίς κα μὴ παρέχῃ, ἑκατὸν στατῆρας ὀφε[ιλέτω] ....
ς ἔφοδον θύεν ἐν Ἀνεμαίαις τρικτεύαν κηῦαν [τ]ῷ (Ἀπόλλωνι), τρικτεύαν κηῦ[αν].......................
ιος τὸν ναὸν τοῦ Ἀπόλλωνος το(ῦ) Πυθίο(υ) καὶ τὰν αὐλὰν καὶ τὸν τᾶς Ἀρτάμι[τος ναὸν? .... καὶ τὸν]
δρόμον καὶ τὰν κράναν τὰν ἐμ πεδίῳ τοὶ ἱαρομνάμονες τοὶ Ἀμφικτιόν[ων.................κατὰ Πυθιάδα ἑκά]-
σταν ἐφακείσθων πρὸ Πυθίων, ὅτινός κα δέωνται· αἴ κα μὴ τοὶ ἱαρομνάμο[νες] ....
ἐν τᾷ • Πυθιάδι τᾷ [ἱ]αρᾷ ἐπικοσμήσωντι, ὅτινός κα δέωνται, ἀπο[τεισάτω ὁ ἱαρομνάμων ὁ μὴ ἐπικοσμήσας]......

στατῆρας Αἰγιναῖος· αἴ κα μὴ ἀποτίνῃ τοῖς ἱερομναμόνεσσι το[ῖς Ἀμφικτιόνων ὁ ἱερομνάμων ὁ ὀφείλων, εἰλέσθω τοῦ ἱ]-
αροῦ ἁ πόλις, ἐξ ἇς κ' εἶ ὁ ἱαρομνάμων, ἔντε κα ἀποτείσῃ. Ὁδῶν τα............................[καὶ τ]-
ὰς γεφύρας ἐφακεῖσθαι Ἀμφικτίονας κὰτ τὰν αὐτο(ῦ) ἕκαστον χ[ώραν?]...............................
μὴ σίνηται· καὶ τοῦ δρόμου τοὺς ἱαρομνάμονας τοὺς Ἀμφικτι[όνων ἐπιμελεῖσθαι?......................δ]-
έηται, καὶ ζαμιούντων τοὶ ἱαρομνάμονες· κἠπὶ τοῖς ποταμοῖς ....[Ἱερομηνί]-
α Πυθιάς· ἐνιαυτία ἁ ἱερομηνία ἁ Πυθιὰς ἴσα πάντεσσι ἐκ τᾶς.................................
Πύθια δ' ἀγόντων τοῦ Βουκατίου μηνὸς τοῦ ἐν Δελφοῖς, τὸς δὲ π.............................[Δ]-
ελφοὶ τοῦ Βυσίου μηνός· αἰ δέ κα μὴ πέμπωντι, ἀποτεισάντω[ν ....στατῆρας Αἰγιναῖος]..........
πὸτ τὸν θεὸν κὰτ τὰ πάτρια διδόντων τοῖς Δελφοῖς· αἰ δέ κα μ[ὴ] διδῶντι...........................ἤ]
...ωνται τὰν ἐκεχηρίαν, εἰλέσθων τοῦ ἱαροῦ...
.......[τὰν ἐ]κεχηρίαν ἱερομ........ρο..

CIG. 1688. Ahrens Dial. II p. 484. Koehler CIA. II 545. — Est lex Amphictionica a. 380 a. Chr. lata, Athenis lapidi incisa et publice proposita.

8 Λατο(ῦ)ς: Λατός Ahrens Dial. II 174, quem Koehler secutus est. — 9 **ΕΦΙΟΡΚΕΜΙΟΙ**. — 13 fin. **ΡΟΜ**. — 19 **ΡΑΣΣΩΝ**. — 26 **ΚΑΞ/ Γ···ΛΟΝΤΩΝΓΟΙΤΟΣ**. — Λῶτις: obscurum. — 31 **ΓΟΡΝΑΜΑΤΑ**. — 34 κηύαν: Boeckhius explicat per καθαρτηρίαν, afferens Hesychii glossas κεῖα· καθάρματα, et κήϊα· καθάρματα. — 38 **ΤΑΙ** literae deletae. — 41 fin. **Ϋ**. — 45 **ΑΕΟΝΤΩΝ**.

206 [= 85] Delphis in muro polygonio.

Θεοί. |

Ἔδοξε τᾷ πόλει τῶν Δελφῶν· ἐπειδὴ Εὐρ[υ]τίων | Τύχωνος Ταναγραῖος ἱερομναμονήσας εὐεργέ|τας ἐγένετο του ἱεροῦ καὶ τᾶς πόλιος τὰ δίκαια πράσ|σων, δεδόσθαι αὐτῷ καὶ ἐκγόνοις προξενίαν, | προμαντείαν, ἀσυλίαν, ἐπιτιμίαν καθάπερ Δελφοῖς, | προεδρίαν ἐμ πάντεσσι τοῖς ἀγώνεσσι, οὓς ἁ πό|λις ἄγει, καὶ τὰ ἄλλα πάντα ὅσα καὶ τοῖς ἄλλοις | εὐεργέταις καὶ προξένοις· ἄρχοντος Ἡρακλεί||δα, βουλευόντων Στράτωνος, Κλευφάνευς, | Ἀθάμβου, Αἰνησιδά[μου].

E. Curtius Anecd. Delph. 46. Le Bas Voy. arch. II 874. — Putaverit quispiam hoc decretum Delphorum dominatione Aetolica antiquius esse, quia dat. plur. πάντεσσι, ἀγώνεσσι non in -οις exeunt. Sed haec causa non est, cur hic titulus alii aetati tribuatur quam ceteri in eodem muro scripti. In decreto medii seculi secundi n. 209, 5 scriptum est πάντεσ(σ)ι τοῖς ἀγώνοις; et in actis manumissionum saepius legitur μάρτυρες (e. g. WF. 22. 26. 42. 43. 44) pro volgari Aetolico μάρτυροι.

2 Εὐρ[υ]τίων: lacunam quatuor fere literarum in medio hoc nomine indicavit Le Bas. — 11 Ἀθάμβου, Αἰνησιδά[μου]: desunt apud Lebasium.

---

207 Delphis.

Θεοί. |

Ἄρχοντος Κλεοδάμου, βουλευόντων Ἀμύντα, Θεοφράστου, Πραξία, ἔδοξε τᾷ πόλει τῶν | Δελφῶν· ἐπειδὴ ἐπανελθόντες θεωροὶ οἱ ἀποσταλέντες ἐπὶ τὰν ἐπαγγελίαν τῶν Πυ|θίων Ἀμύντας καὶ Χαρίξενος ψάφισμά τε ἀνήνεγκαν παρὰ Χερσονασιτᾶν τῶν ἐ[κ τ]οῦ || Πόντου καθὼς ἦν λελυτρωμένοι ὑπ' sic αὐτῶν καὶ πεπολυωρημένοι ἐμ πάντοις κ[αὶ αὐ]|τοὶ διέλεγεν ἀκολούθως τοῖς γεγραμμένοις ἀπολογιζόμενοι ἂν ἔχοιεν αἵρεσ[ιν] | ποτὶ τὰμ πόλιν τῶν Δελφῶν καὶ κοινᾷ καὶ καθ' ἰδίαν πάντοις, καὶ νῦν ἀποστείλα[ντες] | Φορμίωνα καὶ Ἡρακλείδαν θυσίαν συνετέλεσαν τῷ θεῷ ἑκατόμβαν βούπρω[ιρον καὶ] | δωδεκαΐδα βούπρῳρον τᾷ Ἀθάνᾳ καὶ τὰ κρέα τὰμ βοῶν διένειμαν τοῖς πολ[ίταις], || ἐποιήσαντο δὲ καὶ αὐτοὶ τὰν ἐν-

δαμίαν καταξίως καὶ αὐτῶν καὶ τῶν ἀποστειλάν|των αὐτούς· δεδόχθαι τᾷ πόλει τῶν Δελφῶν, ἐπαινέσαι τε τᾷ πόλει τῶγ Χερσο|νασιτᾶν τῶν ἐκ τοῦ Πόντου καὶ τοῖς ἀποσταλέντοις ὑπ' αὐτῶν ἐπί τε τᾷ αἱρέσει | ᾇ ἔχοντι καὶ εὐνοίᾳ ποτί τε τὸν θεὸν καὶ τὰμ πόλιν τῶν Δελφῶν, δεδόσθαι δὲ καὶ τᾷ | [πόλ]ει τῶν Χερσονασιτᾶν προμαντείαν καὶ τοῖς ἀποσταλέντοις Φορμίωνι καὶ Ἡρα|[κλεί]δᾳ προξενίαν· ἀναγράψαι δὲ τὸ ψάφισμα τοὺς ἄρχοντας τοὺς ἐνάρχους ἐν τῶ|[ι ἱε]ρῷ τοῦ Ἀπόλλωνος· ἀποστεῖλαι δὲ καὶ ξένια τοῖς παραγεγονότοις Φορμίωνι | [κ]αὶ [Ἡ]ρα[κλε]ίδᾳ τοὺς ταμίας Χαρίξενον, Διόδωρον.

Haussoullier, Bull. Corr. Hell. VI (1882) p. 214 sqq. n. 49. — Decretum factum est a. 192; cf. Mommsen Philol. 24 p. 31.

---

208 Tei.

Δελ[φῶ]ν. |

[Δεδόχθαι τᾷ πόλει ἐν] ἀ[γ]ορᾷ τελείῳ σὺμ ψάφο(ι)ς * ταῖς ἐν[νόμοις· ἐπεὶ Τή|ϊοι πρεσβευ]τὰς ἀποστείλαντες Πυθαγόραν Κλείτου κ[αὶ Κλεῖτον | Κ]λείτου τάν τε οἰκειότατα καὶ τὰν φιλίαν ἀνενεώσαν[το καὶ Δελφῶν παρεκά]|λεον τὰν πόλιν, ὅπως ἅ τε πόλις καὶ ἁ χώρα αὐτῶν ἐπιχ[ωρηθῇ ἱερὰ εἶ]|μεν καὶ ἄσυλος τοῦ Διονύσου· δεδόχθαι τᾷ πόλει, τάν τ[ε φιλίαν καὶ τὰν οἰ]|κειότατα τὰν ὑπάρχουσαν ποτὶ τοὺς Τηΐους διαφυλάσ[σειν καὶ ἐπὶ πλεῖ]|ον αὔξειν καὶ εἶμεν αὐτῶν τάν τε πόλιν καὶ τὰ[ν χώραν ἅπασαν] | ἱερὰν καὶ ἄσυλον τοῦ Διονύσου, καθὼς καὶ οἱ πρεσβε[υταὶ παρεκά]λεον, καὶ εἶμεν αὐτοῖς τὰν ἀσφάλειαν [κα]ὶ ἀσ[υλίαν καὶ πᾶσι] | τοῖς ἐν Τέῳ κατοικεόντοις καθὼς καὶ τοῖς [διονυσιακοῖς] | τεχνίταις. Ὅπως δὲ διαμένῃ τόδε τὸ [δόγμα κύριον] | ἐν τὸ[μ] πάντα τὸν χρόνον (sic), ἀναγράψαι τὸ [ψάφισμα τοὺς] | βουλευτὰς ἐν τῷ ἱερῷ. Ἄρχοντος Μεγάρτ[α, βουλευόντων] || Μνασιθέου, Πρωτάρχου, Ἀθάμβου, Φιλι[στίωνος].

Le Bas, Voy. arch. III n. 84 (= Explic. p. 41). — Decretum pertinet ad alteram earum legationum, quae commemorantur in titulis Cretensibus n. 122 sqq. Nam anno 193, quo Apollodotus et Colotas in oppida Cretensia missi sunt, Delphis archontes fuerunt Pithagoras et post eum Ecephylus (cf. Mommsen Philol.

24 p. 28. 31), non Megartas. Ergo hic titulus triginta aut pluribus annis post a. 193 scriptus esse putandus est.

2 ΥΑΦΟΣΟΤΑΙΣ.

---

209 Delphis ad viam sacram.

Ἀγαθᾷ τύχᾳ. Δελφοὶ ἔδωκαν Νικάνδρῳ | Ἀναξαγόρου Κολοφωνίῳ ἐπέων ποιητᾷ, αὐ|τῷ καὶ ἐγγόνοις, προξενίαν, προμαντείαν, | ἀσυλίαν, προδικίαν, ἀτέλειαν πάντων, προε||δρίαν ἐν πάντεσ(σ)ι τοῖς ἀγώνοις οἷς ἁ πόλις τί|θητι, καὶ τἆλλα ὅσα καὶ τοῖς ἄλλοις προξένοις καὶ | εὐεργέταις τᾶς πόλιος τῶν Δελφῶν. Ἄρχοντος | Νικοδάμου, βουλευόντων Ἀρίστωνος, Νικοδάμου, Πλεί|στωνος, Ξένωνος, Ἐπιχαρίδα.

Haussoullier, Bull. Corr. Hell. VI (1882) p. 217 sq. n. 50. — Nicander Colophonius Attali III († 133) aequalis fuit.

---

210 [= 84] Delphis.

[Θ]εὸς τύχαν ἀγαθάν. |

[Ἄρ]χοντος Σωσιπάτρου τοῦ Αἰακίδα, βου|λευόντων τὰν πρώταν ἑξάμηνον Ἀντιγέ|νεος τοῦ Διοδώρου, Ἁγίωνος τοῦ Κλεοδάμο[υ], || γραμματεύοντος δὲ Ὑβρία τοῦ Ξένωνος· ἐπεὶ | Ἁγίων Κλεοδάμου ἐπελθὼν ἐπὶ τὰν ἐκκλησί|αν διέλεγεν ὑπὲρ Λαΐστα τοῦ Ἀντάνορος Ἡρα|κλεώτα, διότι ἐκτενὴς καὶ εὔνους ὑπάρχει [π]ο|τί τε τὸ ἱερὸν [κ]αὶ τὰν πόλιν τῶν Δελφῶν καὶ περὶ || πλείστου ποιεύμενος τὰν ποτὶ τοὺς θεοὺς | εὐσέβειαν, αὐτὸς αὑτὸν εὔχρηστον ἐμ παντὶ | καιρῷ παρασκευάζων καὶ κοινᾷ τᾷ πόλει καὶ [κα]|τ' ἰδίαν τοῖς ἐντυγχανόντοις τῶν πολιτᾶν, εἰ [δέ] | κά τις αὐτὸν παρακαλῇ, συμποτιγινόμενος μετὰ || πάσας προθυμίας ἐν οἷς κα τυγχάνωντι χρείαν ἔ|χοντες καὶ λέγων καὶ πράσσων διὰ παντὸς περὶ | τοῦ ἱεροῦ καὶ τᾶς πόλιος τῶν Δελφῶν· ἀγ[α]θ[ᾶ]ι | τύχᾳ δεδόχθαι τᾷ πόλει τῶν Δελφῶν [ἐ]ν ἀγο|ρᾷ τελείῳ σὺμ ψάφοις ταῖς ἐννόμοις, ἐπαινέ||σαι Λαΐσταν Ἀντάνορος Ἡρακλεώταν ἐπί τε τᾷ | προαιρέσει ᾇ ἔχων διατελεῖ ποτί τε τὸ ἱερὸν καὶ | τὰν πόλιν τῶν Δελφῶν, καὶ ὑπάρχειν αὐτῷ καὶ ἐ[κ]|γόνοις παρὰ τᾶς πόλιος προξενίαν, προμαντείαν, | προδικίαν, ἀσυλίαν, ἀτέλειαν πάντων, προεδρίαν || ἐμ πᾶσι τοῖς ἀγώνοις οἷς ἁ πόλις τίθητι,

καὶ γᾶς καὶ | οἰκίας ἔγκτησιν καὶ τἆλλα π[άν]τα ὅσα καὶ τοῖς ἄλλο[ις] | προξένοις καὶ εὐεργέταις τᾶς πόλιος ὑπάρχει· ἀνα|γράψαι δὲ τὸ ψ[άφι]σμα τοὺς ἄρχοντας ἐν τῷ [ἱε]|ρῷ τοῦ Ἀπόλλωνος ἐν τῷ ἐπιφανεστάτῳ || τόπῳ.

Ross, Inscr. Gr. ined. 67. Le Bas, Voy. arch. II n. 882.

B. Acta manumissionis.

Manumissionis servorum apud Graecos varia erant genera. E quibus id, quod fiebat per simulatam venditionem a domino ad deum factam, a foedere Aetolico exeunte seculo 3 institutum esse exposuit Weil, Mitteil. arch. Inst. IV (1879) p. 28.

211 Delphis in muro Pelasgico.

Στραταγ[έ]οντος Θόα τὸ δεύτερον μηνὸς Ἀγυείου, ἐν Δελφοῖς δὲ ἄρχοντος Πειθα|γόρα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖςδε ἀπέδοτο Μίκκων Ξενώνδα Δελφὸς τῷ Ἀπόλλω|νι τῷ Πυθίῳ σώματα γυναικεῖα τέσσαρα, αἷς ὀνόματα Ἐλευθερίς, Σύρα, Παρθένα, | Παραμόνα, ἀργυρίου μνᾶν δεκαπέντε. Βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν ὁμολο|γίαν· Πολύων Νικάρχου, Ἀρχιάδας Δεξιθέου, Δίων Κλέωνος, Ταραντῖνος Ἄρχωνος. | Παραμενόντων δὲ Σύρα, Παρθένα, Παραμόνα παρὰ Μίκκωνα ποέουσαι τὸ ποτιτασσό|μενον ἄχρι κα ζώῃ Μίκκων· εἰ δέ κα μὴ ποιέωντι τὸ ποτιτασσόμενον ἢ ἄλλο τι κακὸ[ν] | ποιέωντι, ἐξέστω Μίκκωνι κολάζειν, ὥς κα αὐτὸς θέλῃ καὶ ὅν κα Μίκκων κελεύῃ. | Ἐλευθερὶς δὲ ἐλευθέρα ἔστω καὶ ἀνέφαπτος τὸν πάντα βίον, καθὼς ἐπίστευσε τῷ || Ἀπόλλωνι τὰν ὠνάν, κυριεύουσα αὐτοσαυτᾶς καὶ ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέ|χουσα οἷς κα θέλῃ. Εἰ δέ τί κα πάθῃ Μίκκων, τοῦ θεοῦ ἔστων Σύρα, Παρθένα, Παραμόνα | ἐλεύθεραι οὖσαι καὶ ἀνέφαπτοι τὸμ πάντα βίον, ποιέουσαι ὅ κα θέλωντι, καὶ ἀποπορεύ|εσθαι οἷς κα θέλωντι, καθὼς ἐπίστευσαν τῷ Ἀπόλλωνι τὰν ὠνὰν Σύρα, Παρθένα, | Παραμόνα. Βέβαιον δὲ παρεχόντων τῷ Ἀπόλλωνι τὰν ὠνάν, εἴ τίς κα ἐφάπτηται || αὐτᾶν, οἱ βεβαιωτῆρες Πολύων, Ἀρχιάδας, Δίων, Ταραντῖνος καὶ ὁ ἐπίνομος τῶν | Μίκκωνος· εἰ δέ κα μὴ παρέχωντι, ὑπόδικοι ἐόντων τῷ θέλοντι ὑπὲρ τὸν Ἀπόλλω|να ἐγδικάζεσθαι, κύριοι δὲ ἐόντων καὶ οἱ ἀντιτυγχάνοντες συλέοντες ὡς

ἐλευ|θερᾶν ἐουσᾶν, καθὼς ἐπίστευσαν τῷ Ἀπόλλωνι τὰν ὠνὰν Ἐλευθερίς, Σύρα, Παρθένα, | Παραμόνα, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Μάρτυρες· τοὶ || ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες Εὐκλείδας, Διόδωρος, Μνάσων καὶ ἰδιῶται | Στράτων, Δαμο[χ]άρης, Νικαγόρας Δελφοί.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 415 n. 25. — Pithagoras Delphis archon fuit a. 194/3; cf. Mommsen Philol. 24 p. 28.

17 sq. ὡς ἐλευθερᾶν ἐουσᾶν: cf. συλέοντες ὡς ἐλευθέρων ὄντων WF. 314, 14. 404, 18.

---

212 Delphis in muro Pelasgico.

Στραταγέοντος τῶν Αἰτωλῶν Προξένου Τριχονέος μηνὸς | Διονυσίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀρισταινέτου μηνὸς Ἐνδυσ|ποιτροπίου, ἀπέδοτο Μεγακλῆς Θηβαγόρα Ἀμφισσεὺς τῷ Ἀπό[λ]|λωνι τῷ Πυθίῳ σῶμα γυναικεῖον, ᾇ ὄνομα Νίκαια, τὸ γένος Θε[σσα]|λὰν ἐξ Σκοτούσσας, τιμᾶς ἀργυρίου μνᾶν δέκα, ὥστε ἐλευθ[έραν] | εἶμεν Νίκαιαν, πολιτεύουσαν αὐτὰν εἴ κα θέλῃ, κυριεύου[σαν] | αὐτοσαυτᾶς, ἐλευθέραν οὖσαν καὶ ἀνέφαπτον ἀπὸ πάντω[ν] | πάντα τὸν χρόνον· παραλαβὼν Μεγακλῆς τὰν ὠνὰν παρὰ [τᾶν] | ἀδελφᾶν τὰν Εὐμνάστου θυγατέρων, Κρινίου Ἀμφισσίδος, Λ.... || Καλλιπολιτίδος καὶ ὑπὲρ Κλευπάτραν Τριχονίδα Εὐμνάστου Τριχο|νέος, τὰν ἐπίστευσε Νίκαια αὐτοσαυτᾶς ὠνὰν ἐπὶ σωπονπίᾳ Εὐμνά|στῳ τῷ πατέρι αὐτᾶν. Βεβαιωτῆρες· Θεύτιμος Κλεάνδρου Ἀμφισσεύς, | Ἀρχέλαος Θηβαγόρα Δελφός. Μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμ[βος] | καὶ οἱ βουλευταὶ Κλέων Καλλιγένεος, Εὐκράτης Καλλίκωνος, ἰδιῶται Πραξί[ας], || Καλλίας, Ἐκέφυλος, Εὔαρχος, Σωτύλος, Ἀνδρόνικος, Μνάσων, Ταραντῖνος, Ἀρχ[έ]|λαος Δελφοί, Εὔνικος Φυσκεύς, Δαμαίνετος, Εὔτυχος, Φιλόμηλος, Δαμύλο[ς], | Γενναῖος Ἀμφισσεῖς. Ἁ ὠνὰ παρὰ τὸν ἱερῆ* Ἄθαμβον.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 419 sq. n. 32. — Aristaenetus Delphis archon fuit a. 183/2; cf. Mommsen Philol. 24 p. 41.

11 ἐπὶ σωποντίᾳ: ita, ut pecunia salva permittatur. Cf. Aristoph. Lys. 488 ἵνα τἀργύριον σῶν παρέχοιμεν, et Hesychius: πέμψις· ἐνεχυρασμός (Roehl ad IGA. 112). — 17 I litera deleta.

---

213 Delphis in muro polygonio.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Βουκατίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Κλεοβούλα Δελφὶς τῷ Ἀπόλλωνι | τῷ Πυθίῳ σῶμα γυναικεῖον, ᾇ ὄνομα Ζωπύρα, τὸ δὲ | πρότερον ἦν Σῖμον, τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς ἐ‖πίστευσε Ζωπύρα τῷ θεῷ, ἐφ' ὧτε ἐλευθέρα εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦσα ὅ κα θέ|λη καὶ ἀποτρέχουσα οἷς κα θέλη. Βεβαιωτῆρες κατὰ τὸν | νόμον· Δεξικράτης, Πεισίλαος Δελφοί. Εἰ δέ τίς κα ἅπτηται | Ζωπύρας τᾶς πρότερον καλειμένας Σίμου, βέβαιον παρεχόν‖τω τῶ θεῶ τὰν ὠνὰν ἅ τε ἀποδομένα Κλεοβούλα καὶ οἱ | βεβαιωτῆρες Πεισίλαος, Δεξικράτης· εἰ δέ κα μὴ παρέχωντι, πρά|κτιμοι ἐόντω κατὰ τὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυνχά|νοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλευθέραν οὖσαν | ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Μάρ‖τυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄθαμβος, οἱ ἄρχοντες | Πεισίλαος, Κλεόδημος, Διονύσιος sic Ἀρίστωνος Βοιώτι|ος, Καλλίκων, Ἀγασέας, Ἀριστίων Δελφοί.

WF. 396. — Damosthenes archon fuit a. 182/1; cf. Mommsen Philol. 24 p. 42.

9 χαλειμένας: similia sunt ἀφαιρείμενος WF. 417, 6. 450, 8. χρείμενος WF. 14, 4. Cf. χαλειμέναν Phoc. n. 223 *B*, 17.

---

214 Delphis in muro polygonio.

Ἄρχοντος Πραξία μηνὸς Ἀμαλίου, ἀπέ|δοτο Φιλοκράτης Θεοφράστου Δελφὸς | τοῖ Ἀπόλλωνι τοῖ Πυθίοι σῶμα ἀνδρεῖον, | οἷ ὄνομα Κῶμος, τιμᾶς ἀργυρίου μνᾶν δεκα‖τριῶν, καθὼς ἐπίστευσε τοῖ θεοῖ τὰν ὠνὰν Κῶμος. Βεβαι|ωτὴρ κατὰ τὸν νόμον Πραξίας Εὐδόκου. Κατενενκάτω δὲ Κῶ|μος Φιλοκράτει ἀργυρίου μνᾶς δεκατρεῖς ἐν ἐτέοις δεκατρίοις | φέρων τοῦ ἐνιαυτοῦ μνᾶν ἐν τὸν ἔρανον τὸν Ἀρχελάου· εἰ δέ τι | πάθοι Φιλοκράτης, κατενενκάτω τὸ ἀργύριον τοῖς ἐπινόμοις

Θεο||φράστοι, Ξένωνι Κῶμος, ἑκατέροι τὸ μέρος· εἰ δὲ τοῦ ἐπιλοίπου | ἀργυρίου τις ἐνάπτοιτο Κώμου ἢ ἀντιποιέοιτο κατενένκαντος | τὸ ἀργύριον, κύριοι ἐόντω οἱ βουλευταὶ καὶ ὁ θέλων συλέων | ἐπ' ἐλευθερίᾳ, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι. Μάρτυ|ρες· οἱ ἄρχοντες Καλλίας, Δαμένης, Βάκχιος, Ἧρυς Πλείστωνος, || Κλεόδαμος Ἀτεισίδα, Πάτρων Ἰατάδα, Εὔαρχος Μενέστα, Δίκα|ιος, Δέξιππος, Κλέων Ξενοφίλου.

WF. 244. — Praxias archon fuit a. 178/7; cf. Mommsen Philol. 24 p. 42.

---

215 Delphis in muro polygonio.

Ἄρχοντος ἐν Ἐρινεῷ Ἀντιμάχου μηνὸς Λαφρίου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Ἀνδρονίκου τοῦ Φρικίδα μηνὸς Θευξενίου, | ἐπὶ τοῖςδε ἀπέδοτο Μνασίξενος Πηλεκλέα Ἐριναῖος τῷ | Ἀπόλλωνι τῷ Πυθίῳ σῶμα γυναικεῖον, ᾇ ὄνομα Νικώ, τὸ || γένος Θρᾷσ(σ)αν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | Νικὼ τῷ θεῷ τὰν ὠνάν, ἐφ' ᾧτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα βίον. Βεβαιωτῆρες κατὰ τὸν νόμον· | Νικέας Σωσιξένου Δελφός, Νικόμαχος Δεξίππου Δελφός. Παραμεινάτω δὲ Νικὼ παρὰ Μνασίξενον, ἄχρι κα | ζώη Μνασίξενος, καὶ ἐκθρεψάτω παιδάρια δύο ἀδόλως, καὶ τὰ λοιπὰ ποιοῦσα τὸ ποτιτασσόμενον || πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. Εἰ δέ τί κα μὴ ποιήσῃ Νικὼ τῶν ποτιτασσομένων ὑπὸ Μνασιξένου, καθὼς | γέγραπται, δυνατὰ ἐοῦσα, ἐξέστω Μνασιξένῳ κολάζειν καθώς κα αὐτὸς θέλῃ, καὶ ἄλ(λ)ῳ ὑπὲρ Μνασίξε|νον ὅν κα Μνασίξενος κελεύσῃ, ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. Εἰ δέ τί κα πά|θῃ Μνασίξενος, ἐλευθέρα ἔστω Νικὼ κυριεύουσα αὐτοσαυτᾶς καὶ ποιοῦσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέ|λῃ, καθὼς ἐπίστευσε τῷ θεῷ τὰν ὠνάν. Εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδουλισμῷ Μνασιξένου τελευτάσαντος, || βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῷ θεῷ τὰν ὠνὰν κατὰ τὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν, ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | Μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, καὶ τῶν ἀρχόντων Νικόμαχος, ἰδιῶται Ξεναγόρας, Εὐκλεί|δας, Μένης, Κάρπος Δελφοί, Ξενίας, Καλλίερος, Καλλίστρατος Ἀμφισσεῖς. Ἁ συγγραφὰ παρ' Εὐκλείδαν.

WF. 54. — Amyntas et Tarantinus sacerdotes fuerunt aa. 170—158; cf. Mommsen Philol. 24 p. 8. 47.

3 Πηλεκλέα: cf. Πειλεστροτίδα Boeot. n. 355, 2.

---

216 Delphis in muro polygonio.

Στραταγέοντος τῶν Αἰτωλῶν Παναιτώλου Φυταιέ|ος μηνὸς Ὁμολωΐου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα | μηνὸς Βυσίου, ἐπὶ τοῖςδε ἀπέδοτο Κριτόδαμος | Δαμοχλέος Φυσκεὺς τῷ Ἀπόλλωνι τῷ Πυθίῳ || σῶμα ἀνδρεῖον ᾧ ὄνομα Μαιφάτας, τὸ γένος Γαλά|ταν, καὶ γυναικεῖον, ᾇ ὄνομα Ἀμμία, τὸ γένος | Ἰλλύραν, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά. Παραμεινάτω δὲ | Μαιφάτας καὶ Ἀμμία παρὰ Κριτόδαμον ἄς κα ζώῃ Κριτό|δαμος, ποιέοντες Κριτοδάμῳ τὸ ποτιτασσόμενον· || εἰ δέ κα μὴ παραμείνωντι ἢ μὴ ποιέωντι τὸ | ποτιτασσόμενον, ἁρμένα καὶ ἀτελὴς αὐτοῖς | ἁ ὠνὰ ἔστω. Ἐπεὶ δέ κα τελευτάσῃ Κριτό|δαμος, ἐλεύθεροι ἔστων Μαιφάτας καὶ Ἀμμία | καὶ ἁ ὠνὰ μενέτω τῷ θεῷ, καθὼς ἐπίστευσαν, || ἐφ' ᾧτε ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ | πάντων τὸμ πάντα βίον ποιέοντες ὅ κα θέλωντι | καὶ ἀποτρέχοντες οἷς κα θέλωντι. Βεβαιωτῆρες | κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Φίλων Ἀρι|στέα, Ἀστόξενος Διονυσίου. Μάρτυροι· οἱ ἱερεῖς || Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Δεξικρά|της, Σώτιμος, Καλλίμαχος, Εὐάγγελος, [Ἀ]χαιὸς Δελφοί, Λυκ[ίσκ]ος, Μενέδαμος Φυσκεῖς.

WF. 189. — Amyntas et Tarantinus sacerdotes fuerunt aa. 170—158; cf. Mommsen Philol. 24 p. 8. 47.

13 ΕΖΩΝ: cf. Blass Ausspr. p. 97.

---

217 Delphis in muro polygonio.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Δαιδα[φορίου], ἐπὶ τοῖςδε ἀπέδοτο Λίριον συνευδοκέ|οντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Θευγένεος [τῷ] Ἀπόλλωνι τῷ Πυθίῳ σῶμα ἀνδρεῖον, ᾧ ὄ|νομα Μάνης, τὸ γένος Παφλαγόνα τιμ[ᾶς] ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶ|σαν, καθὼς ἐπίστευσε Μάνης τὰν ὠνὰν τ[ῷ θε]ῷ, ἐφ' ὅτῳ ἐλεύθερος ἦται τὸν πάντα χρόνον || ποιῶν ὅ κα θέλῃ. Εἰ δέ τις ἐφάπτοιτο Μάνε[ος ἐ]πὶ καταδουλισμῷ, κύριος ἔστω Μάνης αὐ|σωτὸν συλέων ὡς ἐλεύθερος ὤν· ὁμοίως δὲ κ[αὶ] εἴ τις ἄλλος συλέοι Μάνην ὡς ἐλεύθερον | ὄντα, ἀζάμιος ἔστω ὁ συλέων

καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. Βεβαιωτὴρ κατὰ | τὸν νόμον τᾶς πόλιος Θρασυκλῆς Πραξία. Παραμεινάτω δὲ Μάνης παρὰ Λίριον ἔτη τρία ἀ|νέγκλητος ποιῶν τὸ ποτιτασσόμε[νο]ν τὸ δυνατόν· εἰ [δέ] κ[α] μὴ παραμένη ἀνένκλη||τος Μάνης παρὰ Λίριον, καθὼς γέ[γρ]α[πτ]αι, περὶ οὗ κα ἐπικαλ[ῆ] αὐτῷ, κριθέντων συνελό|μενοι ἐν ἄνδροις [τρίο]ις· ὅ τι δέ κ[α κρίνων]τι, κύριον ἔστω. Ἄρχει τῶν τριῶν ἐτέων ὁ ἐνιαυτὸς | ὁ μετὰ τὰν Εὐχαρίδα ἀρχά[ν]. Εἰ [δ]έ τι ἀνθρώπινον γένοιτο περὶ Μάνη, εἴ τί κα κατ[αλείπη ὑπά]ρ|χον Μάνης, Λιρίου ἔστω, καὶ μὴ ἔστω ἐξ[ου]σία Μάνει διδόντι μηθενὶ τά κα ἔ[χη?.. Μάρτυ]|ροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Πασίων, [Βαβύλ]ος, || Τιμοκλῆς, ἰδιῶται Μένης, Δάμων Δαμοκράτεος, Ἀντιφάνης, Νικέας, Τιμ[ό]κ[ριτ]ος.

WF. 31. — Praxias et Andronicus sacerdotes fuerunt aa. 153—142; cf. Mommsen Philol. 24 p. 8. 47.
5 sq. αὐ|σωτόν: i. e. αὐτὸς αὑτόν.

---

218 Delphis in muro polygonio.

Ἄρχοντος Στράτωνος τοῦ Ἰατάδα μηνὸς Ἀμαλίου, βουλευόντων Ἐράτωνος, | Νικία, Κλεομάντιος, ἀπέδοντο Γρῖπος καὶ Φιλῴ τῷ Ἀπόλλωνι τῷ Πυθίῳ παιδάρια | δύο οἰκογενῆ, οἷς *sic* ὀνόματα Φίλιππος καὶ Θεοκλῆς, τειμᾶς ἀργυρίου μνᾶν | ἓξ καὶ τὰν τιμὰν ἀπέχοντι πᾶσαν, καθὼς ἐπίστευσαν τῷ Ἀπόλλωνι || Φίλιππος καὶ Θεοκλῆς τὰν ὠνάν. Βεβαιωτῆρες κατὰ τοὺς νόμους τὰς | πόλιος· Πύρρος Δρομοκλείδα, Νικίας Κλέωνος. Εἰ δέ τις ἐ[φ]άπτοιτο Φιλίπ|που ἢ Θεοκλέος, βεβαίους παρεχόντων τῷ θεῷ τὰς ὠνὰς οἵ τε ἀποδόμενοι | καὶ οἱ βεβαιωτῆρες· εἰ δὲ μὴ παρέχοισαν τὰς ὠνάς, πράκτιμοι ἔστω|σαν κατὰ τοὺς νόμους τὰς πόλιος· κύριοι δὲ ἔστωσαν καὶ οἱ παρατυγχάνον||τες συλῆοντες Φίλιππον καὶ Θεοκλῆν ὡς ἐλευθέρους ὄντας ἀζάμιοι ὄντες | καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Μάρτυρες· ἱερεῖς τοῦ Ἀπόλλωνος | Λαιάδας Βαβύλου, Νικόστρατος Ἄρχωνος καὶ ἰδιῶται Φιλόνικος Διοδώ|ρου, Καλλίστρατος Αἰακίδα, Πάσων Ὀρέστα, Βαβύλος Αἰακίδα, Κλέων Κλεοδά|μου, Δάμων Μένητος, καὶ ὁ νεοκόρος τοῦ Ἀπόλλωνος Δάμων Ὀρθαίου. || Εἰ δέ τι γένοιτο περὶ

Γρῖπον ἢ Φιλὼ ἀνθρώπινον, ποησάτω τὰ ποτὶ γᾶν πάντα | Φίλων, καὶ ὅσα κα ἀπολίπωνται πάντα λαβέτωσαν κοινῶς Φίλων καὶ Φίλιππος. | Παραμεινάτω δὲ Φίλιππος Γρείπω καὶ Φιλοῖ......

WF. 435.

10 συλήοντες: etiam WF. 442, 12, volgo συλέοντες; συλῆν 137, 4. 138, 3. Cf. ἀπαλλοτριώουσα WF. 19, 8; ἀπαλλοτριωοίη 53, 13.

---

219 Delphis in muro Pelasgico.

Ἄρχοντος Θαρρ[έ]ος(?) μηνὸς Παναγυρίου ὡς Ἀμφισσεῖς | ἄγοντι, ἐν Δελφοῖς δὲ ἄρχοντος Δαμοστράτου μηνὸς | Ποιτροπίου, ἀπέδοτο Τέλων καὶ Κλητώ, συνευδοχέον|τος τοῦ υἱοῦ sic Στράτωνος, τῷ Ἀπόλλωνι τῷ Πυθίῳ σῶμα || ἀνδρεῖον ᾧ ὄνομα Σῶσος, τὸ γένος Καππάδοκα, τιμᾶς ἀρ|γυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Σῶσος τῷ θεῷ τὰν | ὠνάν, ἐφ' ᾧτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ | πάντων τὸν πάντα χρόνον. Βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ κα|τὰ τὸ σύμβολον Φιλόξενος Δωροθέου Ἀμφισσεύς. Ἁ δὲ προ||τερασία ὠνὰ ἁ γενομένα Σώσου τῷ Ἀπόλλωνι ἐπὶ ἄρχον|τος ἐν Δελφοῖς Θρ[α]συκλέος καὶ τὰ ἐν τᾷ ὠνᾷ ποτιγεγραμμέ|να, ὥσστε παραμεῖναι Σῶσον παρὰ Τέλωνα καὶ Κλητὼ ἇς | κα ζώωντι, ἀτελὴς καὶ ἀρμένα ἔστω. Μάρτυροι οἱ ἱερεῖς | τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ ὁ ἄρχων Πυρ||ρίας Ἀρχελάου καὶ Ἀμφισσεῖς Χαρίξενος Ἐχεφύλου, | Πολύκριτος, Ἀριστόδαμος Καλλικλέος, Εὐθύδαμος Πο|λυκρίτου, Δωρόθεος Τιμασίου, Δημήτριος Μονίμου. Τὰν | ὠνὰν φυλάσσοντι οἵ τε ἱερεῖς Πραξίας καὶ Ἀνδρό|νικος καὶ Ἀμφισσεῖς Πολύκριτος, [Χαρί]ξεν[ος] || Ἐχεφύλου.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 428 n. 42.

12 ὥσ(σ)τε Haussoullier; duplex litera videtur in lapide esse et ab editore improbari.

---

220 Delphis prope domum societatis archaeologicae.

[Ἄρχοντος ἐν Δελφοῖς........τ]οῦ Διοδώρου, μηνὸς Ἡ[ραίου, βουλευόντων | τὰν πρώταν ἑξάμηνον........τοῦ Εὐ]μαρίδα,

Ἁγίωνος τοῦ Διο....., [γραμμα|τεύοντος] .... τοῦ Ἀθανίωνος, ἀπέδοντο [Ἀγαθοκλέα | καὶ Εὐγένεα, συνευδοκ]έοντος καὶ τοῦ υἱοῦ Ἀγαθοκλέ[ας...... || ....σῶμα] γυναικεῖον κοράσιον ᾇ ὄνομα Ὀ[νασίφορον | Ἀπόλλωνι τῷ Πυθίῳ] τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ τὰν τιμὰ[ν ἔχοντι | πᾶ]σαν, καθὼς ἐπίστευσε Ὀνασίφορον τῷ θεῷ τὰν ὠνάν, [ἐφ' ᾧτε | ἐλ]ευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίο[ν. Βεβαιωτ]ὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος Δείνων Δαμοστράτου. [Παραμει]|νάτω δὲ Ὀνασίφορον Ἀγαθοκλέα καὶ Εὐγενέα ἕως κα ζώον[τι ποιέου]|σα τὸ ἐπιτασ(σ)όμενον πᾶν τὸ δυνατόν· εἰ δὲ μὴ ποιέοι, ἐξ[ουσίαν] | ἐχέτωσαν ἐπιτιμέουσαι Ὀνασιφόρῳ τρόπῳ ᾧ κα θέ[λωντι] | καὶ μαστιγοῦσ[α]ι καὶ διδέουσαι πλὰν μὴ πωλέουσα[ι. Εἰ δὲ θέ]|λοι προαπενθεῖν Ὀνασίφορον sic πρὸ τοῦ παραμεῖναι τὸγ χ[ρόνον, ἐπι]|δότω ἀργυρίου μνᾶς τρεῖς Ἀγαθοκλέα καὶ Εὐγενέα καὶ ἀπολ[ελυμέ]|να ἔστω τᾶς παραμονᾶς. Εἰ δέ τις ἐφάπτοιτο Ὀνασιφόρου [ἐπὶ κα]|ταδουλισμῷ, βέβαιον παρεχέτωσαν τῷ θεῷ τὰν ὠνὰν αἵ [τε ἀπο]|δόμεναι καὶ ὁ βεβαιωτήρ· ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύρι[ος] | ἔσ[τω] συλέων Ὀνασί*φορον ἐλευθέραν οὖσαν ἀζάμιο[ς ὢν || καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας]........

Joh. Schmidt, Mitteil. arch. Inst. V (1880) p. 201 sq.

19 I litera deleta.

XI. Tituli Phocensium et Locrorum.

In dialecto Locrorum *o* et *e* longas per contractionem factas ω, η esse, per productionem suppletoriam ου, ει, apparet ex ea ratione scribendi, quae adhibita est in n. 229. Cf. de Wilamowitz, Zeitschr. f. Gymn.-Wesen 31 p. 642. Idem p. 641 putat dativos sing. I et II declinationum apud Locros et Phocenses item atque apud Boeotos, Aetolos, Acarnanes non in -ᾳ, -ῳ sed in -αι, -οι exiisse. Quod quamquam probabile est, tamen incertum esse ipse non negat.

1. Tituli Phocensium.

221 [= 90] Lapis insertus muro meridionali monasterii St. Lucae, quod in loco veteris Stiridis exstat.

Ἀγαθ[ᾶ]ι τούχα[ι]. Ἀν[βρυσεῖς? ἔδω]καν Ὀρθοτίμοι Καλαιοο . . . | τυλισιοι προξενίαν, αὐ[τοῖ καὶ] | ἐκγόνοις, καὶ ἔγκτησιν [γᾶς καὶ] || οἰκίας καὶ ἐπινομίας καὶ [ἀσυλ]ίαν καὶ ἀσφάλειαν sic καὶ πο[λέμω] | καὶ εἰράνας καὶ τἆλλα ὅ[σα καὶ] | τοῖς ἄλλοις προξένοις κα[ὶ εὐερ]γέταις, ἀρχόντων Δαμία. . . . || Κλεομέδοντος.

Rangabé, Ant. Hell. 739. — Vix recte putat hunc titulum ante Phocensium oppida per Philippum regem (a. 346) deleta scriptum esse.

1 ΑΓΛΟΙιC<ΧΑ, inde τούχα[ι] scripsit Rangabé, ut ου more Boeotico pro υ scriptum sit. Cf. n. 222. — 9 **ΔΑΜΙΔ**.

---

222 Ambrysi.

Πανταινέτα | Ξενοχρατεία |
Δάματρι | καὶ Κόρῃ.

Le Bas, Voy. arch. II n. 973.

2 Ξενοχρατεία: adiectivum patronymicum more Boeotico factum. Cf. n. 221.

---

223 Pila marmoris caerulei Stiride in Phocide reperta.

A

[Θ]εὸς τύχαν ἀγα[θ]άν. Στραταγέοντος | [τ]ῶν Φωκέων Ζευξίου, | [μ]ηνὸς ἑβδόμου, ὁμολο[γ]ί]α τᾷ πόλει Στειρίων καὶ | [τᾷ] πόλει Μεδεωνίων. Συ[ν|ε]πολίτευσαν Στείριοι κα[ὶ | Μ]εδεώνιοι ἔχοντες ἱερά, πό[λι]ν, χώραν, λιμένας, πάντα || [ἐ]λεύθερα ἐπὶ τοῖσδε· εἶμεν | [τ]οὺς Μεδεωνίους πάντας | [Σ]τιρίους ἴσους καὶ ὁμοίους, | καὶ συνεκ(κ)λησιάζειν καὶ συ|ναρχοστατεῖσθαι μετὰ τᾶς || [πό]λιος τῶν Στιρίων καὶ δικά[ζ]ειν τὰς δίκας τὰς ἐπὶ πόλι[ο]ς πάσας τοὺς ἐνικομένους | [τ]αῖς ἁλικίαις. Ἱστάνθω δὲ κα[ὶ | ἱ]εροταμίαν ἐκ τῶν Μεδεω[ν]ίων ἕνα τὸν

θυσέοντα τὰς | θυσίας τὰς πατρίους Μεδεων[ί]οις, ὅσαι ἐντὶ ἐν τῶ πολιτικῶ νόμ[ω, | μ]ετὰ τῶν ἀρχόντων τῶν στα[[θ]έντων ἐν Στίρι· λανβανέτω || [δ]ὲ ὁ ἱεροταμίας ἀρέσμιον ὃ τ[οὶ | ἄ]ρχοντες ἐλάμβανον, ἡμι[[μ]ναῖον καὶ τῶν χοῶν τὸ ἐπ[ι|β]άλ(λ)ον τῶ ἱεροταμίᾳ· συνδι[[κ]άξει δὲ ὁ ἱεροταμίας μετὰ || sic [τ]ῶν ἀρχόντων τὰς δίκας ἃς | [τ]οὶ ἄρχοντες δικάζοντι, καὶ | [κ]λαρώσι τὰ δικαστήρια, ἅ κα | δέῃ κλαρώειν μετὰ * τῶν ἀ[ρ]|χόντων. Μὴ ἔστω δὲ ἐπάναγ|[κ]ες λειτουργεῖν τοὺς Μεδε|ωνίους ἐν Στίρι τὰς ἀρχάς, ὅσοι | γεγένηνται ἐν Μεδεῶνι ἄρ|χοντες, ξενοδίκαι, πρακτῆρες, | δαμιουργοί, ἱερεῖς, ἱεράρχαι, καὶ || τᾶν γυναικῶν ὅσαι ἱερητεύ|κατι, εἰ μή τις ἑκὼν ὑπομένοι· | ἱστάνθων δὲ ἐκ τᾶν ἀλειτου|ργήτων τῶν Μεδεωνίων κ[αὶ ἐκ τῶν Στιρίων. Δαμιουρ|[γ]εόντων δὲ καὶ τὰ ἐν Μεδε|[ῶνι ἱ]ερὰ καθὼς ὁ πολιτικὸς νό|μος κελεύει. Καὶ τὰν χ[ώ|ρα]ν τὰν Μεδεωνίαν εἶμεν | [π]ᾶσαν Στιρίαν καὶ τὰν Στι||ρίαν Μεδεωνίαν κοινὰν π[ᾶ|σα]ν. Κοινωνεόντω δὲ οἱ Με- sic δε|[ώ]νιοι τᾶν θυσιᾶν τᾶν ἐν Στί|[ρι] πασᾶν καὶ τοὶ * Στίριοι τᾶν ἐν Με|δεῶνι πασᾶν. Μὴ ἐξέστω δ||ὲ ἀποπολιτεύσασται τού[ς] | Μεδεωνίους ἀπὸ τῶν Στιρί[[ω]ν μηδὲ τοὺς Στιρίους ἀπὸ | [τ]ῶν Μεδε[ωνί]ων· ὁπότεροι | [δ]έ κα μὴ ἐμμείνωντι ἐν τοῖ[[ς] γεγραμμένοις, ἀποτει|σάντων τοῖς ἐμμεινά[ν]|τοις ἀργυρίου τάλαν|τα δέκα.

B

. . . .[π]οιεόντων, | [γ]ραψάντων δὲ τὰν ὁμ[ο]|λογίαν ἐν στάλαν καὶ ἀν[αθέ][ντων ἐν τὸ ἱερὸν τᾶς Ἀ[θάν]]ας, θέστων δὲ τὰν ὁμο[λογί]|αν καὶ παρὰ ἰδιώταν ἐσ[φρα]|γισμέναν. Ἁ ὁμολογία π[αρὰ] | Θράσωνα Λιλαιέα. Μάρ[τυ]|ρες· Θράσων Δαματρίου Ἐ||λατεύς, Εὐπαλίδας Θρά|σωνος Λιλαιεύς, Τιμο|κράτης Ἐπινίκου Τιθορρε|ύς· δόντων δὲ τοὶ Στίριοι | τᾶ φατρία τῶν Μεδεωνί||ων ἐν ἐτέοις τεττάροις | ἀργυρίου μνᾶς πέντε κα[ὶ | τ]όπον τὰν καλειμέναν | .α..τρειαν.

Mondry Beaudouin, Bull. Corr. Hell. V (1881) p. 42 sqq. — Titulus est aetatis Aetolicae. Θράσων Εὐπαλίδα Λιλαιεὺς (*B* 8) et Θράσων Ἐλατεὺς (*B* 9 sq.) commemorantur etiam in titulo Delphico WF. 81, 7. 12, scripto anno 192 a. Chr.

A 18 ἱστάνθω, 42 ἱστάνθων: med. et pass., cf. Blass Rhein. Mus. 36 p. 610; προϊστάνθω Lebad. n. 328. — 25 ἀρέσμιον: videtur esse quod postea dictum est honorarium. — In fine ΟΙ.

— 33 χλαρώειν: cf. ἀπαλλοτριώουσα et alia, ad Delph. n. 218. — ΤΑ literae deletae. — 53 ΤΟΙ literae deletae. — 57 ΗΜΗΔΕ. — *B* 14 φατρία: cf. [Δ]ιὸς Φατρίο[υ] n. 159.

---

224 [= 89] Inter rudera Stiridis, prope ecclesiam ruinosam.

Θεὸς τύχαν ἀγαθάν. Ἄρχοντος ἐν Στείρι | Κάλλωνος τοῦ Ἀγήσωνος μηνὸς τετάρ|του, Πραξίας Θέωνος ἀφίητι ἐλευθέρους (τὰν) ἰδίαν (δούλαν) Εὔπραξιν | καὶ τὸ ἐξ αὐτᾶς παιδάριον ᾧ ὄνομα Δωρίων. Μὴ κα||ταδουλιξάσθω δὲ αὐτοὺς μηθεὶς μηδὲ καθ' ὁποῖ|ον τρόπον. Οἳ καὶ παραμεινάτωσαν Πραξία καὶ τᾶ γυ|ναικὶ αὐτοῦ Ἀφροδισία ἕως ἂν ζῶντι καὶ θαψάντω καὶ τ[ὰ] | ὥρια αὐτῶν ποιησάτωσαν· εἰ δὲ μὴ θάψωντι καὶ ποιήσων|τι τὰ ὥρια αὐτῶν, καθὼς προγέγραπται, ἀτελὴς ἔστω ἁ ἀ||νάθεσις καὶ ποταποτισάτωσαν ἀργυρίου μν|ᾶς τριάκοντα. Εἰ δέ τις ἐπιλανβάνοιτο αὐτῶ|ν ἢ καταδουλίζοιτο, ἅ τε γενηθῖσα δουλαγω|γία αὐτῶν ἄκυρος καὶ ἀρ*μένα ἔστω καὶ ποτα||[π]οτισάτω ὁ καταδουλιζόμενος μνᾶς τριάκοντα, || [κα]ὶ τὸ μὲν ἥμισον ἔστω τοῦ προστάντος, τὸ | [δὲ] ἥμισον τοῦ Ἀσκλαπιοῦ· ἐξέ[σ]τω δὲ προστ[[ᾶ]]μεν ὑπὲρ αὐτοὺς τὸν θέλοντα Φωκέων.

Ross Inscr. Gr. ined. 73. Le Bas Voy. arch. II 993. Literarum formae sunt aetatis Romanae. Titulus inscriptus est basi donarii, quod olim Philo lapicida Aesculapio posuerat.

9 **ΑΤΕΛΝΣ** —, in fine **Λ**. — 12 **ΤΡ**. — 13 ἀρ*μένα: **Ε** litera deleta. Cf. n. 216, 11. 219, 13. — 14 **ΟΤΙΖΑΤΩ**. — 17 **ΕΥΤΟΥΣ**.

---

225 Tithorae.

Θεὸς τύχαν ἀγαθάν. Ἄρχοντος ἐν Τιθόρρᾳ | Ἁρμοξένου τοῦ Θεοξένου, ἱερητεύοντος δὲ τῷ | θεῷ τῷ Σαράπει Νικοδάμου τοῦ Βίωνος, μηνὸς πέμ[π]του, ἀπέδοντο Νεοπτόλεμος Ξενοφίλου καὶ Με||νέμαχος Μενεφίλου, συνευδοχέοντος καὶ τοῦ υἱοῦ | Νεοπτολέμου Μενεμάχου, τῷ θεῷ τῷ Σαράπει ἐπ' ἐ|λευθερίᾳ τὸν ἴδιον ἐξελεύθερον Νίκωνα τιμᾶς ἀργυρίου | μνᾶν εἴκοσι· τὰν τιμὰν ἔχει πᾶσαν. Βεβαιωτὴρ Λυσίας Τιμασί[ωνος]. | Μὴ καταδουλιξάσθω δὲ μηθεὶς Νίκωνα μήτε

αὐτὸν μήτε ‖ τὰ ὑπάρχοντα μηδὲ καθ' ὁποῖον τρόπον· εἰ δέ τις καταδουλίζοι|το, ἀποτεισάτω ἀργυρίου τάλαντον ποθίερον τοῦ Σαράπι[ος]· | ἐξέστω δὲ καὶ προστᾶμεν τῷ θέλοντι Φωκέων, καὶ | τὸ μὲν ἥμισον ἔστω τοῦ προστάντος, τὸ δὲ ἥμισον τοῦ | θεοῦ τοῦ Σαράπιος. Ἁ ὠνὰ παρὰ τὸν θεὸν τὸν Σάραπιν ‖ καὶ τὸ ἀντίγραφον παρὰ τὸν ἄρχοντα Ἁρμόξενον. Μάρτυ|ρες Λάων Λάμπρωνος, Σώκλαρος Ἁγία, Πολύξενος Ξένω|νος.

Ulrichs, Rhein. Mus. N. F. II (1843) p. 553 n. 1. Le Bas, Voy. arch. II n. 823, I. — Et hunc titulum et similes eisdem locis editos Nervae imperatori aequales putat Ulrichs.

---

2. Tituli Locrorum Opuntiorum.

226 Tituli sepulcrales.

1 Ἀγαινέτο. — IGA. 309.

2 Ἐχσαίνετος. — IGA. 311. Quinta litera apud Girardium, Bull. Corr. Hell. II tab. 26 n. 26, est Γ.

3 Πολυδάμαντος. — IGA. 312.

4 Διογείτον. — IGA. 315.

---

227 In ventre scyphi nigri reperti in sepulcris prope oppidum Livanatas (in Locris Opuntiis). Roehl.

Καλ(ά). Παντέλεος τὰ ποτέρια. Καλά.

Girard, Bull. Corr. Hell. II (1878) p. 588. IGA. 307. — Tertium vocabulum scriptum est ΒΑ.

---

228 [= 92] In solo Opuntis veteris.

............ος Πύθωνος. Ὀπούντιοι καὶ Λοκροὶ
[οἱ μετὰ Ὀπουντίων ἔδω]καν Διχαιάρχῳ Εὐίππου, Ἀφθονήτῳ
.... Κεφαλλάνεσσι ἐκ Κρανίων

[καὶ τοῖς ἐκγόνοις αὐ]τῶν προξενίαν, πολιτείαν, ἰσοτέλειαν, [ἀσφάλειαν καὶ πολέμο]υ καὶ εἰράνας καὶ αὐτοῖς καὶ χρηματεσ[σι καὶ κατὰ γᾶν κ]αὶ κατ[ὰ] θάλασσαν, καὶ ὅσα τοῖς ἄλλοις προξέ[νοις καὶ εὐεργ]έταις δίδοται, πάντα κατὰ τὸν νόμον. Ἔγγυοι .... τρόφου, Κάλλων Καλλιστράτου.

Cumanudes, Ἀθήναιον I (1872) p. 547 (487). Titulum repetiit et de rebus publicis Locrorum Epicnemidiorum disseruit Weil, Arch. Zeit. 31 (1874) p. 142.

---

3. Tituli Locrorum Ozolarum et Epizephyriorum.

Locrorum civitatem in Magna Graecia sitam non ab Epicnemidiis sed a Locris occidentalibus (Ozolis) conditam esse monet Strabo VI p. 259.

229 [= 91] Tabula aenea reperta in oppido Galaxidi (Oeantheae), postea cum collectione Woodhouse equitis Londinum translata.

A

Ἐν Ναύπακτον κὰ(τ) τόνδε ἁ 'πιϝοικία· Λοϙρὸν τὸν Ὑποκναμίδιον, ἐπ|εί κα Ναυπάκτιος γένεται, Ναυπάκτιον ἐόντα ὅπο(ς) ξένον (ʽ)όσια λανχάν|ειν καὶ θύειν ἐξεῖμεν ἐπιτυχόντα, αἴ κα δείλεται· αἴ κα δείλεται, θύειν καὶ λ|ανχάνειν κὲ δάμο κὲ ϙοινάνον, αὐτὸν καὶ τὸ γένος καταιϝεί. Τέλος το||ὺς ἐπιϝοίϙους Λοϙρο͂ν το͂ν Ὑποκναμιδίον μὲ φάρειν ἐν Λοϙροῖς τοῖ|ς Ὑποκναμιδίοις, φρίν κ' αὖ τις Λοϙρὸς γένεται το͂ν Ὑποκναμιδίον. Αἴ (κα) | δείλετ' ἀνχορεῖν, καταλείποντα ἐν τᾶ͂ (ʽ)ιστίᾳ παῖδα ἑβατὰν ἒ 'δελφεὸν ἐξ|εῖμεν ἄνευ ἐνετερίον· αἴ κα ὑπ' ἀνάνκας ἀπελάονται ἐ Ναυπάκτο Λοϙ||ροὶ τοὶ Ὑποκναμίδιοι, ἐξεῖμεν ἀνχορεῖν, ὅπο ϝέκαστος ἐ͂ν, ἄνευ ἐ||νετερίον. Τέλος μὲ φάρειν μεδέν, ὅτι μὲ μετὰ Λοϙρο͂ν το͂ν ϝεσπαρί|ον. — Α. Ἔνορϙον τοῖς ἐπιϝοίϙοις ἐν Ναύπακτον· μὲ 'ποστᾶμεν ἀπ' (Ὀπ)οντίον | τέχνᾳ καὶ μαχανᾶ͂ sic μεδεμιᾶ͂ ϝεϙόντας. Τὸν ὅρϙον ἐξεῖμεν, αἴ κα δεί|λονται, ἐπάγειν μετὰ τριάϙοντα ϝέτεα ἀπὸ το͂ ὅρκο ἑκατὸν ἄνδρας

Ὀ|ποντίοις Ναυπακτίον καὶ Ναυπακτίοις Ὀποντίους. — B. Ὅστις κα λιποτελέε||ι ἐγ Ναυπάκτο τõν ἐπιϝοίϙον, ἀπόλοϙρον εἶμεν, ἔντε κ' ἀποτείσε̨ τὰ νό|μια Ναυπακτίοις. — Γ. Αἴ κα μὲ γένος ἐν τᾶ (ἱ)στίᾳ ε̨ ἐχέπαμον τõν ἐπι|ϝοίϙον * ἐν Ναυπάκτῳ, Λοϙρõν τõν Ὑποκναμιδίον τὸν ἐπάνχισ|τον κρατεῖν, Λοϙρõν ὅπο κ' ε̨, αὐτὸν ἰόντα, αἴ κ' ἀνὲρ ε̨ ε̄ παῖς, τριõν μ|ενõν· αἰ δὲ μέ, τοῖς Ναυπακτίοις νομίοις χρε̃σται. — Δ. Ἐ Ναυπάκτο ἀνχορέ||οντα ἐν Λοϙροὺς τοὺς Ὑποκναμιδίους ἐν Ναυπάκτῳ καρῦξαι ἐν τὰ|γορᾷ, κἐν Λοϙροῖς τοῖ(ς) Ὑποκναμιδίοις ἐν τᾷ πόλι, ὅ κ' ε̨, καρῦξαι ἐν | τἀγορᾷ. — E. Περϙοθαριᾶν καὶ Μυσαχέον, ἐπεί κα Ναυπάκτι(ό)ς τι(ς) γένετα|ι, αὐτὸς καὶ τὰ χρέματα τε̃ν Ναυπάκτῳ τοῖς ἐν Ναυπάκτῳ (νομίοις) χρε̃σται, | τὰ δ' ἐν Λοϙροῖς τοῖς Ὑποκναμιδίοις χρέματα τοῖς Ὑποκναμιδί||οις

B

νομίοις χρε̃σται, ὅπος (ἁ) πόλις ϝεκάστον νομίζει Λοϙρõν τõν Ὑποκν|αμιδίον. Αἴ (κά) τις ὑπὸ τõν νομίον τõν ἐπιϝοίϙον ἀνχορέε̨ Περϙοθαριᾶ|ν καὶ Μυσαχέον, τοῖς (ἁ)υτõν νομίοις χρε̃σται κατὰ πόλιν ϝεκάστους. | — Ϝ. Αἴ κ' ἀδελφεοὶ ἔοντι τõ 'ν Ναύπακτον ϝοικέοντος, ὅπος καὶ Λοϙρõ||ν τõν Ὑποκναμιδίον ϝεκάστον νόμος ἐστί, αἴ κ' ἀποθάνε̨, τõν χ|ρεμάτον κρατεῖν τὸν ἐπίϝοιϙον, τὸ κατιϙόμενον κρατεῖν. — Z. | Τοὺς ἐπιϝοίϙους ἐν Ναύπακτον τὰν δίκαν πρόδιϙον ἀρέσται πὸ(τ) τοὺς δ|ικαστε̃ρας, ἀρέσται καὶ δόμεν ἐν Ὀπόεντι κατὰ ϝέ(τ)ος αὐταμαρόν. Λοϙ|ρõν τõν Ὑποκναμιδίον προστάταν καταστᾶσαι, τõν Λοϙρõν τὸπιϝ||οίϙο καὶ τõν ἐπιϝοίϙον τõ Λοϙρõ, οἵτινές κα πιατεσεντιμοιεσ. — H. Ὅσσ|τις κ' ἀπολίπε̨ πατάρα καὶ τὸ μέρος τõν χρεμάτον τõ πατρί, ἐπεί κ' | ἀπογένεται, ἐξεῖμεν ἀπολαχεῖν τὸν ἐπίϝοιϙον ἐν Ναύπακτον. | — Θ. Ὅστις κα τὰ ϝεϝαδεϙότα διαφθείρε̨ τέχνᾳ καὶ μαχανᾷ κα|ὶ μιᾷ, ὅτι κα μὲ ἀνφοτάροις δοκέε̨, Ὀποντίον τε χιλίον πλέθ||ᾳ καὶ Ναϝπακτίον τõν sic ἐπιϝοίϙον πλέθᾳ, ἄτιμον εἶμεν καὶ χρέ|ματα παματοφαγεῖσται. Τὸνκαλειμένῳ τὰν δίκαν δόμεν τὸν ἀρ|χόν, ἐν τριάϙοντ' ἀμάραις δόμεν, αἴ κα τριάϙοντ' ἀμάραι λείποντ|αι τᾶς ἀρχᾶς· αἴ κα μὲ διδõ τõ ἐνκαλειμένῳ τὰν δίκαν, ἄτιμ|ον εἶμεν καὶ χρέματα παματοφαγεῖσται. Τὸ μέρος μετὰ ϝο||ικιατᾶν διομόσαι ὅϙρον τὸν νόμιον· ἐν (ὑ)δρίαν τὰν ψά-

φιξ|ξιν εἶμεν. Καὶ τὸ θέθμιον τοῖς Ὑποκναμιδίοις Λοϙροῖς ταὐ|τᾶ τέλεον εἶμεν Χαλειέοις τοῖς σὺν Ἀντιφάτᾳ ϝοικεταῖς.

Oeconomides, Ἐποίκια Λοκρῶν γράμματα κτλ., ἐν Ἀθήναις 1869. Vischer, Rhein. Mus. 26 (1871) p. 39 sqq. = Kleine Schr. II p. 172 sqq. Roehl IGA. 321. — Titulum priori parti seculi 5 tribuit Kirchhoff Alph.[3] 137, qui putat in hac tabula nihil nisi extremam partem totius foederis scriptam esse; nam verbis, quae ab initio legantur, integram sententiam non effici. Aliter hanc difficultatem tollere studuit Roehl, qui putat v. 1 pauca verba per scribentis neglegentiam omissa esse. Quomodo acciderit, ut foedus inter Locros Epicnemidios et colonos ab eis missos factum a Locris Ozolis aeri incisum exstet, explicavit Roehl l. l.

A 1 κὰ(τ) τόνδε ἀ(γέστο τὸν νόμον ἐ)πιϝοικία coni. Roehl. — 2 ὅπο (κ' ἐ̄ Λοϙρὸν), ξένον (gen. plur.) scripsit Roehl ex coniectura Wilamowitzii. — 8 ἐ Ναυπάκτο: cf. Roehl ad IGA. 322. — 10 **NETA**. — 17 **EI** literae deletae. — *B* 5 αἴ κ' ἀποθάνε̄ (τῶν ἀδελφεῶν τις ἄπαις): suppl. Roehl, putans haec verba a scribente omissa esse; sententiam eandem postulaverat Vischer. — 8 ϝέ(τ)ος: suppl. Vischer; κατὰ ϝέος, i. e. »adversus se«, Roehl.

---

230 [= 94] Tabula aenea reperta in oppido Galaxidi (Oeanthea vetere), postea cum collectione Woodhouse equitis Londinum translata.

A

Τὸν ξένον μὲ ἄγε(ι)ν ἐ τᾶς Χαλεΐδος τὸν Οἰανθέα μ|εδὲ τὸν Χαλειέα ἐ τᾶς Οἰανθίδος, μεδὲ χρέματα αἴ τι(ς) συ|λο̃· τὸν δὲ συλο̃ντα ἀνὰ τὸ συλε̃ν τὰ ξενικὰ ἐ θαλά(σ)σας ἄγε(ι)ν | ἄσυλον, πλὰν ἐ λιμένος το̃ κατὰ πόλιν. Αἴ κ' ἀδίκο(ς) συλο̃, sic τέ||τορες δραχμαί· αἰ δὲ πλέον δέκ' ἀμαρᾶν ἔχοι τὸ σῦλον, ἑ|μιόλιον ὀφλέτο, ϝότι συλάσαι. Αἰ μεταϝοικέοι πλέον μενὸς ἒ̄ | (ʽ)ο Χαλειεὺς ἐν Οἰανθέᾳ ἒ (ʽ)Οιανθεὺς ἐν Χαλείῳ, τᾷ ἐπιδαμίᾳ δίκᾳ χ|ρέστο. Τὸν πρόξενον, αἰ ψευδέα προξενέοι, διπλ|εῖ (ϝ)οι θόϊ' ἔστο. ||

B

Αἴ κ' ἀνδιχάζοντι τοὶ ξενοδίκαι, ἐπομότας ἑλέσ|το (ʽ)ο ξένος (ʽ)ο πάγον τὰν δίκαν ἐχθὸς προξένο | καὶ ϝιδίο ξένο ἀριστίνδαν,

ἐπὶ μὲν ταῖς μναια|ίαις καὶ πλέον πεντεκαίδεκ' ἄνδρας, ἐπὶ (δὲ) ταῖς || μειόνοις ἐννέ' ἄνδρας. Αἴ κ' (ὁ) ϝασστὸς πὸτ τὸν ϝ|αστὸν δικάζεται κὰ(τ) τὰς συνβολάς, δαμιοργο(ὺ)ς | ἑλέσται το(ὺ)ς ὁρκομότας ἀριστίνδαν τὰν πε|ντορκίαν ὀμόσαντας· το(ὺ)ς ὁρκομότας τὸν αὐτὸ|ν ὅρκον ὀμνύε(ι)ν, πλεθὺν δὲ νικε̃ν.

Oeconomides, Λοκρικῆς ἀνεκδότου ἐπιγραφῆς διαφώτισις, ἐν Κερκύρᾳ, 1850; Ross, Alte lokrische Inschrift von Chaleion oder Oiantheia, Lpzg. 1854; Kirchhoff, Philol. 13, p. 1 sqq.; Roehl IGA. 322. — Hunc titulum circa initium belli Peloponnesiaci scriptum esse docet Kirchhoff Alph.[3] 136. Continet non integrum foedus inter Chaleenses et Oeanthenses factum sed aut partem eius aut corollarium.

A 1 ἐ τᾶς: cf. n. 229, 8. — 3 ita Kirchhoff; Roehl scripsit: τὸν δὲ συλῶντα ἀνάτω(ς) [impune] συλῆν. Τὰ ξενικὰ ἐ θαλά(σ)σας κτλ. — 8 sq. ita Kirchhoff; Roehl dubitanter scripsit: διπλ|είῳ θῳέστω, i. e. duplici multa multator. — *B* 5 **ΓΟΙ**.

---

231 Ansa vasis aenei reperti in oppido Galaxidi.

Εὔϝαμος καὶ τοὶ συν|δαμιοργοὶ ἀνέθεχαν | τῷ ἕροϊ.

Kirchhoff Alph.[3] 137. Roehl IGA. 323.

---

232 Decretum Chaleensium repertum prope Asopum flumen.

Ἀγαθᾷ τύ[χᾳ].

Ἄρχοντος Ξένωνος, ἐ[ν Αἰγίῳ δὲ δα]|μιοργέοντος Μίκκωνος· ἐπ[ειδὴ] | Κλεογένης Ἀλκιθόου Αἰγιεὺ[ς] || εὔνους ὢν καὶ εὔχρηστος διατε[λεῖ] | τᾷ πόλει τῶν Χαλειέων, ἔδοξε τᾷ πό|λει ἐν ἐννόμῳ ἐκκλησίᾳ· πρόξεν|ον εἶμεν καὶ εὐεργέταν τᾶς πόλιο[ς] | τῶν Χαλειῶν Κλεογένη Ἀλκιθόου Αἰγ[ιέα] || καὶ ἐκγόνους αὐτοῦ, καὶ εἶμεν α[ὐτ]ῷ ἰσο[πο]|λιτείαν καὶ ἀσφάλειαν καὶ ἀσυλίαν καὶ [πολέ]|μου καὶ εἰράνας καὶ γᾶς καὶ οἰκίας ἔνκτησ[ιν] | καὶ τὰ ἄλλα ὑπάρχειν αὐτῷ πάντα, ὅσα | τοῖς ἄλλοις προξένοις καὶ εὐεργέτ[αις] || τᾶς πόλιος ὑπάρχει.

CIG. 1567. Le Bas, Voy. arch. II n. 580. — Et hunc titulum et CIG. 1594. 1607 non Chalia ex oppido Boeotico ad Euripum

sito sed Chaleo Locrico oppido ortos esse demonstravit Ahrens Dial. I p. 235.

2 sq. [δα]|μιοργέοντος: magistratum Achaicum esse monuit Boeckh. Cf. ad n. 274.

---

233 Locris Epizephyriis.

Οἰνιάδας | καὶ Εὐκέ|λαδος | καὶ Χεί[μ]|αρ(ρ)ος | ἀνέθεκ|αν τᾷ θ|εῷ.

CIG. 5769 = Vol. III Add. p. 1252. IGA. 537.

---

234 Galea aenea, quae e regione Locrorum Epizephyriorum oriunda esse dicitur.

[Π]εριφόνᾳ | [ἀνέθε]κέ με Ξενάγατ[ος].

CIG. 5778 *b*. IGA. 538. — Roehl confert formam Laconicam Πηρεφόνεια quae est apud Hesychium.

XII. Tituli Aetolici.

235 Delphis in muro Pelasgico.

Στραταγέοντος Τιμαίου ἔδοξε τοῖς | Αἰτωλοῖς· μηθένα τῶν ἐν Δελφοῖς συνοί|κων ἀτελέα εἶμεν, εἴ κα μὴ δοθῆ[ι] παρὰ | τᾶς πόλιος τῶν Δελφῶν ἀτέλεια, καὶ εἴ || τινοις ἔμπροσθεν ἀτέλεια γέγονε | μὴ δόντων τῶν πολιτᾶν, ὑποτελεῖς | εἶμεν καθὼς καὶ οἱ λοιποὶ σύνοικοι.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 404 n. 14. — Supra (p. 141) iam commemoratum est inde ab anno 290 a. Chr. Delphos dominationi Aetolorum subiectos fuisse.

---

236 Tabula marmorea Delphis reperta.

[Ἔδοξε τοῖς] Αἰτωλοῖς· [ἐπ]ε[ὶ] βασιλεὺς Εὐμένης ὑπάρχων φίλος καὶ σύμμαχος διὰ προγόνων τὰν οὖσα[ν | πρότερον ε]ὔνοιαν ἐμ παντὶ καιρῷ φανερὸς γίνεται συναύξων καὶ πολλὰς καὶ

μεγάλας ἀποδείξε[ις | ποιούμενος τ]ᾶς ἐν τὸ ἔθνος εὐνοίας καὶ τοὺς ἄλλους Ἕλλανας, ἀεὶ τὰ συμφέροντα διαπρασσόμενο[ς | σπουδᾶς καὶ] φιλοτιμίας οὐθὲν ἐνλείπων, γεγονότων τε αὐτοῖ πολλῶν καὶ μεγάλων εὐαμερημά[των ‖ διὰ τοὺς π]ολέμους, ἐπαυξηκὼς τὰμ βασιλείαν καὶ ἐν τὰν καλλίσταν διάθεσιν ἀγνηκὼς κέκρικε | [τιθέναι] ἀγῶνας καὶ θυσίας τᾷ Ἀθάνᾳ τᾷ Νικαφόρῳ μετὰ τῶν ἀδελφῶν καὶ τοῦ δάμου τῶν | [Περγαμηνῶ]ν, περὶ πλείστου ποιούμενος τὰν ποτὶ τοὺς θεοὺς εὐσέβειαν, παρακαλεῖ [δ]ὲ καὶ το[ὺς | Αἰτωλοὺς ἐ]ξαπ[ε]σταλκὼς θεωροὺς Πέρσαν, Θεόλυτον, Κτήσιππον, ἀποδέξασθαι τοὺς ἀγῶνας | [τῶν Νικαφ]ορίων στεφανίτας, τὸμ μὲν μουσικὸν ἰσοπύθιον, τὸν δὲ γυμνικὸν καὶ ἱππικὸν ἰσολύμπιον ‖ [καὶ ὁμοί]ως ἄσυλον τὸ τέμενος τᾶς Ἀθάνας τᾶς Νικαφόρου· δεδόχθαι τοῖς Αἰτωλοῖς· [Ἐπ]αινέσαι | [βασιλέ]α Εὐμένη καὶ τοὺς ἀδελφοὺς αὐτοῦ Ἄτταλον, Φιλέταιρον, Ἀθήναιον καὶ βασίλισσαν | [Ἀπολλωνίδα] τὰμ ματέρα αὐτῶν καὶ τὸν δᾶμον τῶν Περγαμηνῶν ἐπὶ τᾷ ποτὶ τοὺς [θεού]ς εὐσεβεί[ᾳ | καὶ στεφανῶσ]αι ἕκαστον αὐτῶν εἰκόνι χρυσέᾳ, τὸμ μὲν βασιλέα ἐφ' ἵππου, τοὺς δὲ ἀ[δελφοὺς πεζικᾷ, | ἀρετᾶς ἕνεκεν] καὶ εὐνοίας τᾶς εἰς τοὺς θεούς· ἀποδεδέχθαι δὲ καὶ τοὺς ἀγῶνας τῶ[ν Νικαφορίων οὓς ‖ ἔθηκε βασ]ιλεὺς Εὐμένης [σ]τεφανίτας, τὸμ μὲν μουσικὸν ἰσοπύθιον, τὸν δὲ γυ[μνικὸν καὶ ἱππικὸν ἰσολύμπιον, | εἶμεν] δ[ὲ τ]οῖς νικεόντοις τῶν Αἰτωλῶν τὰς τιμὰς καὶ τὰ λοιπὰ πάντα τὰ ἐν τ[οὺς νενικηκότας Πυ]θίων κ]αὶ Ὀλυμπίων τὰ κατακεχωρισμένα, καὶ καθάπερ ὁ βασιλεὺς Εὐμένης ἀνα[καλεῖ] τὸ τέ[μενος | τᾶς Ἀθά]νας τᾶς Νικαφόρου τὸ ποτὶ Περγάμῳ ἄσυλο[ν], καθὼς κα ὁρίξῃ, συναποδεδέχθαι τοὺς Αἰτω[λοὺς | ἄσυλον] εἶμεν αὐτὸ τὰ ἀπ' Αἰτωλῶν καὶ τῶν ἐν Αἰτωλίᾳ κατοικεόντων καὶ μηθένα ἄγειν μηδὲ ῥυσ[ιάζειν ‖ τινὰ ἐ]ντὸς τῶν ὁρίων· εἰ δέ τίς κα ἄγῃ ἢ ῥυσιάξῃ ἢ ἀποβιάξαιτο ἢ διεγγυάσῃ, ὑπόδικον εἶμεν ἐν τοῖ[ς | συνέδρ]οις τῷ ἀδικηθέντι καὶ ἄλλῳ τῷ θέλοντι ἐν ταῖς ἐκ ποτιστάσιος δίκαις. Ἀποστέλλειν δ[ὲ | θεωρ]οὺς ἐν Πέργαμον, ἐπε[ί] κα ἁ θυσία καθήκῃ τᾷ Ἀθάνᾳ τᾷ Νικαφόρῳ, τᾶς δὲ ἐκπονπᾶς ἐπι[[με]λεῖσθαι τὸν στραταγὸν ἀεὶ τὸν ἔναρχον· τοῖς δὲ θεωροῖς τοῖς ἐπαγγελλόντοις τοὺς ἀγ[ῶνας | τῶν Ν]ικαφόρων καταστᾶσαι τὰς πόλεις ἑκάστας θεωροδόκους τῶν ἰδίων πολιτᾶν καὶ ἀνενε[[γκεῖ]ν τοὺς ἄρχοντας τοὺς ἀπὸ τᾶν πολίων τῷ στρατα[γῶ]ι [ἢ] προξένῳ ἐν τὰ Πύθια, δίδομεν δ[ὲ] | . . . .ρον

καὶ ξένια ὅσα καὶ τοῖς τὰ Ὀλύμπια ἐπαγγελλόντοις θεωροῖς δίδοντι. Ὅπως δὲ καὶ [ἐν | τοὺς ν]όμους καταχωρισθῇ ἅ τε ἀποδοχὰ τῶν ἀγώνων καὶ τοῦ ἱεροῦ ἁ ἀσυλία καὶ ἁ τῶν θ[ε]ωροδ[ό]κων κατάστ]ασις καὶ τὰ ἄλλα τὰ ἐν τῷ ψαφίσματι καταχεχωρισμένα, ἐπιμέλειαν ποιήσασθαι τὸν στρατα[[γὸν] καὶ τοὺς ἄλλους ἄρχοντας. Ἐπαινέσαι δὲ καὶ τοὺς θε[ωρ]οὺς Πέρσαν Δ[ιο]νυσίου Συρακόσιον, || [Θεόλυτον] Ἀρίσ[τω]νος Αἰγινάταν, Κτήσιππον Δαματρίου Περγαμηνόν, καὶ εἶμεν αὐτοὺς προξένους | [καὶ εὐεργέτ]ας τῶν Αἰτωλῶν· ἔγγυος τᾶν προξενιᾶ[ν ὁ γ]ρ[αμματ]εύς. Ἀναγράψαι δὲ καὶ τὸ ψάφισ|[μα τόδε ἐν στ]άλαις λιθίναις δύο καὶ ἀναθέμεν τὰν μίαν ἐν Θέρμο[ν], τὰν δὲ ἐν Δελφούς· τὸ δὲ γενόμεν|[ον ἀνάλωμα] δόμεν τὸν ταμίαν τᾶς κωλ... κ.λ.ι.ρι.ε....σ....λ..ιλι τὸν γραμματῆ τῶν..... | .....ιαν..........................

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 372 sqq. n. 3. — Eumenes II Attali filius regnavit aa. 197—159; exstant bases statuarum eius ab Aetolis positarum, Rangabé n. 1227 sq., Joh. Schmidt, Mitteil. arch. Inst. V p. 199 n. 60.

---

237 [= 95] Lapis repertus Carthaeae in oppido Cei insulae una cum aliis similibus.

Ἔδοξεν τοῖς Αἰτωλοῖς ποτὶ τοὺς [Κε]ίους τὰν φιλίαν τὰν ὑπάρχουσαν διαφυ|λάσσειν καὶ μηθένα ἄγειν Αἰτωλῶν μηδὲ τῶν ἐν Αἰτωλίᾳ πολιτευόν|των τοὺς Κείους μηθαμόθεν ὁρμώμενον μήτε κατὰ γᾶν μήτε κατὰ θάλατ|ταν μήτε ποτ' Ἀμφικτυονικὸν μήτε ποτ' ἄλλο ἔγκλημα μηθὲν ὡς Αἰτωλῶν || ὄντων τῶν Κείων. Εἰ δέ τίς κα ἄγει τοὺς Κείους, τὸν στραταγὸν ἀεὶ τὸν ἔναρ|χον * τὰ ἐν Αἰτωλίαν καταγόμενα [ἀναπράσσ]οντα κύριον εἶμεν καὶ τοὺς | συνέδρους καταδικάζοντας τοῖς Κείοις [τὰν τῶ]ν ἀ[γόντων αὐ]το[ὺς ζα]μίαν, | ἅγ κα δοκιμάζωντι, κυρίους εἶμεν. Στρα[ταγέοντος Ἀρχεδάμου Φόλα (?) τὸ τέ]|ταρτον, πρεσβευσάντων ἐν Κέ[ῳ........

CIG. 2350. Le Bas Voy. arch. II n. 1763. Fick Bzb. Btr. VII (1882) p. 247 sq. n. 1. — Si Fick nomen praetoris foederis Aetolici ex WF. 121 recte supplevit, hoc decretum factum est intra aa. 180—170; nam ea aetate Athambus et Amyntas, qui testium

munere funguntur in WF. 121, sacerdotes Apollinis Delphici fuerunt; cf. Mommsen Philol. 24 p. 7. 45.

6 ΤΑ literae deletae; Boeckh scripsit ἐνάρχοντα; sed vereor ut ἐνάρχω verbum activum umquam in usu fuerit; cf. n. 236, 23. 238, 13. — [ἀναπράσσ]οντα: suppl. Fick ex n. 238, 12 sq.

---

238 [= 96] Prope Teon, extra portam oppidi Sigazik.

Αἰτωλῶν. |

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου, Παναιτωλικοῖς. | Ἐπεὶ Τήϊοι πρεσ[βευ]τὰς ἀποστείλαντες Πυθαγόραν καὶ Κλεῖτον τάν τε οἰκειότατα | καὶ τὰν φιλίαν ἀνενηοῦντο καὶ παρεκάλεον sic τοὺς Αἰτωλούς, ὅπως τάν τε πόλιν || αὐτῶν καὶ τὰν χώραν ἐπιχωρήσωντι ἱερὰν εἶμεν καὶ ἄσυλον τοῦ Διονύσου, | δεδόχθαι τοῖς Αἰτωλοῖς ποτὶ τοὺς Τηΐους τὰν φιλίαν καὶ οἰκειότατα τὰν ὑπάρχουσαν | διαφυλάσσειν καὶ τὰ ψαφίσματα τὰ πρότερον γεγονότα αὐτοῖς περὶ πάντων τῶν φιλαν|θρώπων κατάμονα εἶμεν· ὑπάρχειν δὲ αὐτοῖς παρὰ τῶν Αἰτωλῶν τᾶς τε πόλιος καὶ τᾶς | χώρας τὰν ἀνιέρωσιν καὶ ἀσυλίαν, καθὼς καὶ οἱ πρεσβευταὶ ἀξίουν, καὶ μηθένα Αἰτωλῶν μηδὲ || τῶν ἐν Αἰτωλίᾳ κατοικεόντων ἄγειν τοὺς Τηΐους μηδὲ τοὺς ἐν Τέῳ κατοικέοντας μηδαμόθεν | ὁρμωμένους, ἀλλὰ τὰν ἀσφάλειαν καὶ ἀσυλίαν εἶμεν αὐτοῖς τὰ ἀπ' Αἰτωλῶν καὶ τῶν ἐν Αἰ|τωλίᾳ κατοικεόντων. Εἰ δέ τίς κα ἄγῃ ἢ αὐτοὺς ἢ τὰ ἐκ τᾶς πόλιος ἢ χώρας, τὰ μὲν ἐμ|φανῆ ἀναπράσσειν τὸν σ[τρ]ατα[γὸν] καὶ τοὺς συνέδρους ἀεὶ τοὺς ἐνάρχους, τῶν δὲ | ἀφανέων ὑποδίκους εἶμεν τοὺς ἀχνηκότας, γινομένας τοῖς Τηΐοις τᾶς ἐγδικάσιος || καὶ τᾶς λοιπᾶς οἰκονομίας, καθὼς καὶ τοῖς Διονυσιακοῖς τεχνίταις ὁ νόμος τῶν | Αἰτωλῶν κελεύει. Ὅπως δὲ καὶ εἰς τοὺς νόμους καταχωρισθῇ (ἁ) καθιέρωσις καὶ ἁ ἀσυλία, | τοὺς κατασταθέντας νομογράφους καταχωρίξαι, ἐπεί κα αἱ νομογραφίαι γίνωνται | ἐν τοὺς νόμους.

CIG. 3046. Le Bas, Voy. arch. III n. 85 (= Explic. p. 41 sq.). Fick, Bzb. Btr. VII (1882) p. 248 n. 2. — Hoc decretum pertinere ad posteriorem earum legationum, quae in titulis Creten-

sibus n. 122 sqq. commemorantur, probatur decreto Delphorum n. 208.

14 ἀχνηκότας: cf. ad n. 32.

239 [= 104] Melitaeae in Phthiotide.

Μελιταιέοις καὶ Πηρέοις ἔκριναν οἱ ὑπὸ τῶν Αἰτωλῶν αἱρεθέν|τες δικασταί, Δωρίμαχος, Πολεμαῖος, Ἀργεῖος Καλυδώνιοι, αὐτῶν | ἐπιχωρησάντων ἐξ ὁμολόγων· ὅρια μὲν εἶμεν τᾶς χώρας Μελιταιέ|οις καὶ Πηρέοις, ὡς ὁ Ἀκμεὺς ἐμβάλλει ἐν τὸν Εὔρωπον, καὶ ἀπὸ τοῦ || Ἀκμέος ἐν τὰν παγὰν τοῦ Γαλαίου, καὶ ἀπὸ τοῦ Γαλαίου ἐν τὰν Κολώ|ναν, καὶ ἀπὸ τᾶς Κολώνας ἐπὶ τὸ Ἑρμαῖον ἐπὶ τὰ Εὐρύνια, καὶ ἀπὸ τῶν Ε[ὐ]||ρυνίων κατὰ τῶν ἄκρων, ὡς ὕδωρ ῥεῖ ἐν τὸν Εὔρωπον, ἐκ τοῦ Εὐρώ|που ἐν τὸν Ἐλιπῆ, ἀπὸ τοῦ Ἐλιπέος ἐν τὸ νέμος τὸ ἄγον ἐν τὰν Ἄμ[πε]|λον, ἀπὸ τᾶς Ἀμπέλου κατὰ τῶν ἄκρων ἐπὶ τὸ Ὕπατον, ἀπ[ὸ] || τοῦ Ὑπάτου ἐν τὸν Κερκινῆ, ἀπὸ τοῦ Κερκινέος ἐν | τὰν Μύνιν, ἀπὸ τᾶς Μύνιος ἐν τὸν Εὔρωπον, τοῦ Σκαπεταίο[υ] | καὶ τοῦ Εὐρώπου ἐν τὰν συμβολάν. Τὰν δὲ δαμοσίαν χώ|ραν, τούς τε Καράνδας καὶ τὰν Φυλιαδόνα, μὴ ἀποδόσθων Μ[ε]||λιταεῖς, ὥστε πατρῴαν ἔχειν τὸν πριάμενον, πολιτευόντω[ν] || Πηρέων μετὰ Μελιταιέων, ἀλλὰ κατ' ἄνπαλον μισθούντω κα|θὼς καὶ τὸ πρότερον. Εἰ δέ κα ἀποπολιτεύωντι Πηρεῖς ἀπὸ Μελ[ι]||ταέων, περὶ μὲν τᾶς χώρας ὅροις χρήσθων τοῖς γεγραμμένοις, [καὶ λα]|χόντες ἀποπορευέσθων βουλευτὰν ἕνα, καὶ τὰ δάνεια συναπο|τινόντω, ὅσα κα ἁ πόλις ὀφείλῃ κατὰ τὸ ἐπιβάλλον μέρος || τοῦ βουλευτᾶ, καὶ ἐμφερόντω τὰ ἐ[ν] τοὺς Αἰτωλοὺς γινόμε|να κατὰ τὸν βουλευτάν. Ἀποδόντων δὲ οἱ Πηρεῖς τὰς δεκάτας | τὰς γινομένας τοῖς δανεισταῖς, ἃς ὀφείλοντι ἐτέων τριῶν, ἀ|ναβολὰν λαβόντες ἔτη τρία· ὅσα δὲ καὶ πρότερον ἐλάμβανον ο[ἱ] | Πηρεῖς πὰρ τᾶς πόλιος κατ' ἐνιαυτόν, τοῖς τε ἀρχόντοις ἀργυρίου || μνᾶς τρεῖς καὶ κάρυκι στατῆρας δέκα καὶ εἰς τὸ ἔλαιον τοῖς νεανί|αις στατῆρας δέκα καὶ εἰς τὰν θυσίαν τῶν Σωτηρίων στατῆρας πέντε, [κ]||αὶ νῦν λανβανόντω, καὶ τὰ λοιπὰ ἐπιμελέσθω ἁ πόλις τῶν Μελιτα|έων τῶν κοινῶν ἐμ Πηρέοις, καθὼς καὶ τὸ πρότερον. Νόμοις δὲ χρήσ|θων Πηρεῖς τοῖς αὐτοῖς καὶ Μελιταεῖς. Τὰς δὲ ἐν ἀγορανόμοις δίκας γινομέν||ας Πηρέοις ποτὶ Πηρεῖς κατὰ

τετράμηνον δικαζόντω ἐμ Πηρέοις οἱ ἐγ Με|λιτείας ἀγορανόμοι. Ἀναγραφήτω δὲ ταῦτα ἐν στάλας ἔν τε Μελιτείᾳ | καὶ ἐν Δελφοῖς καὶ ἐν Καλυδῶνι καὶ ἐν Θέρμῳ. Μάρτυρες· τὸ συνέδριον Α[ἰτω|λ]ῶν τὸ ἐπὶ γραμματέος Λύκου καὶ οἱ προσ- sic στάται τοῦ συνεδρίου [Ἑρμ|ό]λαος Σπάττιος, Δύσωπος Ἀπολλωνιεύς, καὶ ὁ γραμματεύ[ς Ἔπο]|χος Ἐρυθραῖος, καὶ ὁ ἱππάρχας Ἀλέξων Ἑρμάττιος, Πανταλέ[ων Ἀτ]|τάλου Πλευρώνιος, Νικόστρατος Νικοστράτου Ναυπάκτιος, | Δαμόξενος Θεοδώρου Ἡρακλεώτας.

Rangabé Ant. Hell. n. 692. Ussing Inscr. Gr. ined. (Havniae 1847) n. 2. Le Bas Voy. arch. II 1179. Nonnullis locis Rangabé plus in lapide vidit quam Ussing et Le Bas. Titulum repetiit Fick Bzb. Btr. VI (1881) p. 312 sq. — Iudicium, quod huic lapidi inscriptum est, sub finem tertii a. Chr. seculi factum esse putant Rangabé et Ussing; sed certa argumenta eius rei desunt. Rationem publicam, qua Perensium oppidum in civitatem Melitaeensium receptum sit, illustravit Kuhn, Rhein. Mus. 15 (1860) p. 29 sq.

17 sq. γεγραμμένοις, [λα]|χόντες: Ussing. καὶ ἔ|χοντες Rang. ΚΑΙΕ literae desunt etiam apud Lebasium. — 28 τῶν κοινῶν ἐμ Πηρέοις: ita Ussing, Le Bas. κοινῶν τῶν ἐμ Πηρέοις Rang. — 33 sq. [Ἑρμ|ό]λαος: Ussing. ΜΑΟΣ Rang., unde [Οἰν|ό]μαος dubitanter coniecit Fick.

XIII. Tituli Acarnanici.

240 [= 99] Pila marmorea reperta a. 1872 Spartae in agro privato.

Ἐπὶ ἱεραπόλου τοῖ Ἀπόλλωνι τοῖ Ἀ|κτίοι Θευδότου τοῦ Σώτωνος Ἀνα|κτοριέος, γραμματέος δὲ τᾷ βου|λᾷ Κλεάνδρου τοῦ Λυχίσκου Ἀνα|κτοριέος, προμνάμονος δὲ Σωπά|τρου τοῦ Σωτίωνος Ἀνακτοριέος | καὶ συμπρομναμόνων Ἀριστάν|δρου τοῦ Ἀρχεστράτου Θυρρείου, | Ἀλεξιμάχου τοῦ Καρδαμίωνος Λι|μναίου, Φιλιστίωνος τοῦ Δεξάν|δρου Ματροπολίτα, μηνὸς Κουρο|τρόπου, ἔδοξε τᾷ βουλᾷ καὶ | τοῖ κοινοῖ τῶν Ἀκαρνά-

νων· προξένους | εἶμεγ καὶ εὐεργέτας τοῦ κοινοῦ || τῶν Ἀκαρνάνωγ κατὰ τὸν νόμον Γό[ρ]||γιν Ἀλκαμένεος, Δαμαισίδαν Ἀν|δροβόλου, Λαχάρη Ἐπηράτου Λακε|δαιμονίους, αὐτοὺς καὶ ἐκγόνους, | καὶ εἶμεν αὐτοῖς ἀσφάλειαγ καὶ ἀ||συλίαγ καὶ πολέμου καὶ εἰράνας | καὶ γᾶς καὶ οἰκίας ἔγκτησιν καὶ | τὰ ἄλλα τίμια καὶ φιλάνθρωπα πάν|τα, ὅσα καὶ τοῖς ἄλλοις προξένοις | καὶ εὐεργέταις τοῦ κοινοῦ τῶν Ἀ||καρνάνων ὑπάρχει.

Cumanudes, Ἀθήναιον I, p. 253 sq. Foucart apud Le Bas Voy. arch. II, n. 194 *d* (Explic. p. 144). Fick, Bzb. Btr. VII (1882) p. 242 n. 1. — Hoc decretum circa a. 220 a. Chr. factum esse argumentis ex historia petitis probare studuit Foucart.

11 init. ΔΙΟΥ.

241 [= 98] Tabula marmorea in solo templi Apollinis Actii reperta.

Ἐπὶ ἱεραπόλου τῷ Ἀπόλλωνι τῷ Ἀκτίῳ Φιλήμονος, | προμνάμονος δὲ Ἀγήτα τοῦ Νικία Ἀλυζείου, | συμπρομναμόνων δὲ Ναυσιμάχου τοῦ Ἀριστοκλέ|ος Ἀστάκου, Φιλοξένου τοῦ Ἡρακλείτου Φοιτιᾶνος, || γραμματέος δὲ τᾷ βουλᾷ Προίτου τοῦ Διοπείθεος | Ματροπολίτα, Κουροτρόπου, ἔδοξε τᾷ βουλᾷ καὶ | τῷ κοινῷ τῶν Ἀκαρνάνων· προξένους εἶμεν | καὶ εὐεργέτας τοῦ κοινοῦ τῶν Ἀκαρνάνων κατὰ | τὸν νόμον Ἀγασίαν Ὀλυμπίωνος Πατρῆ, Πόπλιον, || Λεύκιον τοὺς Ποπλίου Ἀκιλίους Ῥωμαί|ους, καὶ εἶμεν αὐτοῖς | καὶ ἐκγόνοις ἐν Ἀκαρνανίᾳ ἀσφάλειαν καὶ αὐτοῖς | καὶ χρήμασι καὶ κατὰ γᾶν καὶ κατὰ θάλασσαν καὶ | πολέμου καὶ εἰράνας καὶ γᾶς καὶ οἰκίας ἔγκτησιν || καὶ τὰ ἄλλα τίμια καὶ φιλάνθρωπα πάντα, ὅσα καὶ τοῖς | ἄλλοις προξένοις καὶ εὐεργέταις τοῦ κοινοῦ τῶν | Ἀκαρνάνων ὑπάρχει.

CIG. 1793 *a*. Le Bas, Voy. arch. II n. 1043 *a*. Fick, Bzb. Btr. VII (1882) p. 242 sq. n. 2. — Decretum factum est non multo ante initium dominationis Romanae.

1 Ἐπ(ὶ) ἱεραπόλου Boeckh, Ἐπ' ἱεραπόλου Fick.

242 Thyrei.

Πρύτανις | Πολύευκτος Θεοδότου· | ἑστία | Λυσιὰς Μενοιτίου· || ὑποπρυτάνιες | Ἐπικράτης Δωριμάχου, | Λεωνίδας Λεωνίδα, | Ἁγησίστρατος Μνασιστράτου, | Μένανδρος Μενάνδρου, || Σωτέλης Ἐπιτέλεος, | Λαμίσκος Λέοντος· | μάντις | Εὔξενος Δαζίμου· | αὐλητὰς || Λέων Λεοντίσκου· | ἱεροφόρος Φίλιππος Πολυεύκτου· | μάγειρος Νίκανδρος Σωκράτεος· | διάκονος Πρῶτος Δημητρίου· | ἀρχοινοχοῦς Κάλλιππος Πολυεύκτου· || ἱεροθύτας | Καλλικράτης Τιμοκράτεος.

CIG. 1793 *b*, in Add. Leake, Trav. in North. Gr. IV n. 164. Fick, Bzb. Btr. VII (1882) p. 245.

3 ἑστία: Fick confert ἑστία πόλεως CIG. 1435. 1439, saepius.

---

243 Palaeri in tabula grandi.

Ἀθάνας,
Διός.

Heuzey, Le mont Olympe et l'Acarnanie (1860) p. 491 n. 72.

---

244 Strati.

Δικκὼ
Λάμπωνος.

CIG. 1794 *i*, in Add. Fick, Bzb. Btr. VII (1882) p. 244.

---

245 Oeniadis.

Ἐπιτέλεος.

Le Bas Voy. arch. II n. 1036.

---

246 Nummi Strati oppidi Acarnaniae.

1 Ἁγημών. — Imhoof-Blumer, Die Münzen Akarnaniens (Wien 1878) p. 14.

2 Ἀρτέμιτος Ἁγεμόνο[ς]. Ἀρτέμιτος. } Bazin, Arch. miss. scientif. 1864, p. 368 n. 8.

Utrumque nummum repetiit Weil, Zeitschr. f. Num. VII (1880) p. 124 sq.

XIV. Tituli Epirotici.

Si quis ex titulis Dodonae repertis, quos edidit Carapanos, dialectum Epirotarum cognoscere vult, ei cavendum est, ne titulis peregre ad oraculum allatis et peregrina dialecto scriptis falso pro Epiroticis utatur. Inter titulos Dodonae repertos sunt Leucadius n. 93, Agrigentini nn. 200. 201, Corcyraei apud Carapanum VI n. 4. 5 (= tab. 34 n. 4. 5), Atticus apud Carapanum VI n. 23 (= tab. 38 n. 3), Ionici ibidem VI n. 24. 25 (= tab. 38 n. 4. 5). Eorum titulorum quos infra repetii tres primos nn. 247—249 Epirotice scriptos esse certum videtur. Tres sequentes nn. 250—252, quamquam origo eorum incerta est, addidi, quia nullo alio loco aptius huic delectui inseri poterant.

247 Lapis calcarius Dodonae repertus.

Ἀγαθᾷ τύχᾳ. |

Στραταγοῦντος Ἀπειρωτᾶν Ἀντινόου Κλαθι|άτου, γραμματεύοντος δὲ συνέδροις Δοκίμου | τοῦ Κεφαλίνου Τορυδαίου, Γαμιλίου ἐμβουνίμαις ἕκτ(α)ι || καὶ εἰκάδι, πρ(οστάτας) Λύων Εὐρώπιος, ποθόδωμα γραψαμένου Λυσα|νία τοῦ Νικολάου Καριώπου περὶ προξενίας Γαΐῳ Δαζούποι | Ῥεννίῳ Βρεντεσίνοι καὶ ἀπολογιζομένου τὰν εὔνοιαν ἃν | ἔχων διατελεῖ ποτὶ τοὺς Ἀπειρώτας, δι' ἃς οἴετο δεῖν τιμα|θῆμεν αὐτονί, ἔδοξε τοῖς Ἀπειρώταις· πρόξενον εἶμεν αὐτὸν | Γάϊον Δάζουπον Ῥέννιον Βρεντεσῖνον καὶ αὐτὸν καὶ ἐκγό|νους, ὑπάρχειν δὲ αὐτῷ καὶ ἀτέλειαν καὶ ἐντέλειαν καὶ ἀσφά|λειαν καὶ πολέμου καὶ εἰράνας τὰ ἀπὸ Ἀπειρωτᾶν καὶ γᾶς | καὶ οἰκίας ἔγκτασιν ἐν Ἀπείροι καὶ τὰ λοιπὰ τίμια πάντα | ὅσα καὶ [τοῖς ἄ]λλοις προξένοις. sic

Carapanos, Dodone vol. I p. 114. Repetiit Fick, Bzb. Btr. III (1879) p. 269. Bursian, Ber. bayr. Acad. phil.-hist. 1878 II p. 15 sq. putat hunc titulum circa a. 170 a. Chr. scriptum esse, quia Antinous στρατηγὸς aequalis Persae regis Macedonum fuerit (Polyb. 27, 15. 30, 7. Liv. 45, 26).

3 ἐμβουνίμαις: i. q. ἐμβολίμοις; explicavit Bursian.

---

248 Lamina cyprea Dodonae reperta.

[Ἀπέλ]υσαν Τρύπωνα τοίδε ξενι[[κ]ᾶ[ι λ]ύσει· Θ[ε]όδοτος, Ἀλεξίμαχος, | Σα[μ]ύθα, Γάλαιθος, Ξένυς. Μάρτυ|ρες Μολλοσσῶν sic Ἀνδρόκκας Δωδω||ναῖος, Φίλιπ(π)ος [Δω]δωναῖος, Φιλόξενος Δω|δωναῖος, Δραΐπ(π)ος Δωδωναῖος, Ἀγιλαῖος Δω|δωναῖος, Κραῖνυς Φοινᾶτος, Ἀμύνανδρος Δω|δωναῖος· Θρεσπωτῶν οἵδε· sic Δόκιμος Λαρισαῖος, | Πείανδρος Ἐλεαῖος, Μένανδρος Τιαῖος, Ἀλέξα||νδρος Τιαῖος, Δείνων Θοξουχάρου, Φίλιππο[ς], | Φίλων, Ὀνόπερνος. [Ἐ]πὶ προστάτα Φιλοξ|ένου Ὀνοπέρν[ου. Διὸς] Νάου Διώνας.

Carapanos, Dodone V n. 2 = tab. 27 n. 2; illustravit Egger ibidem p. 201 sqq. Titulum repetiit Fick, Bzb. Btr. III p. 276 sq.

2 ΙΣΕΙ; de ξενικᾷ λύσει cf. Bursian Ber. bayr. Acad. phil.-hist. 1878 II p. 18, Fick Bzb. Btr. V p. 21.

---

249 Lamina cyprea Dodonae reperta.

Θεό[ς Τύ]χα. Ματυδίκα | Πο[λύξ]ενον ἐξεπρίατο | [παρὰ Δ]αμοξένας μνᾶς | [ἀρ]γυρίου. Μάρτυρες || [Ἀ]λεξάνωρ, ϝαττίδας, [Σκ]οπαῖος, Εὐκ[λ]είδας. | [Ἐπ]ὶ ναϊάρχου Μενεχάρ[[μου], ἐπὶ προσστάτα Μολ[[οσσ]οῦ Ἀγέ[α]. Λύος, || . . . . . ς Φοι[ν]ᾶτοι.

Carapanos, Dodone V n. 8 = tab. 29, 3. Fick, Bzb. Btr. III (1879) p. 282.

5 ϝαττίδας: cf. [ἀ]φίητι ϝεῖδυς in titulo Dodonaeo apud Carapanum V, 15 = tab. 31, 1. — 9 sq.: ita scripsit Fick.

---

250 Lamina plumbea Dodonae reperta.

Θεῷ τύχαν ἀγαθάν. Ἐπικοινῆται Εὔβαν|δρος καὶ α γυνὰ τῷ Διεὶ τῷ Νάῳ καὶ τᾷ Δι|ώνᾳ, τίνι κα φεῶν ἢ ἡρώων ἢ

δαιμόνων | εὐχόμενοι καὶ φύοντες λώϊον καὶ ἄμεινο‖ν πράσσοιεν καὶ αὐτοὶ καὶ ἁ οἴκησις καὶ νῦν | καὶ ἰς τὸν ἅπαντα χρόνον.

Carapanos, Dodone VI n. 3 = tab. 34 n. 3.

---

251 Lamina plumbea Dodonae reperta.

Ἦ αὐτὸς πεπαμένος τὰν ἐ(μ) πόλι οἰκίαν καὶ τὸ χωρί|ον βέλτιόμ μοι κ' εἴη καὶ πολὺ ὠφελέ(σ)τε(ρ)ον.

Carapanos, Dodone VI n. 15 = tab. 37, 1. Blass, Rhein. Mus. 34 (1879) p. 160. — In parte aversa huius laminae exstant literae επι..λλτισ.

---

252 Lamina plumbea Dodonae reperta.

a

[Ὑ]πὲρ προβα|τείας.

b

Ἐροῦται κλεοῦται τὸν Δία καὶ τὰν | Διώναν, αἰ ἔστι αὐτοῖ προβατεύοντι | ὠναῖον καὶ ὠφέλιμον.

Carapanos, Dodone VI n. 21 = tab. 38 n. 1.
a [Ὑ]πέρ: an Πέρ = περί?

XV. Tituli Elei.

253 Lamina aenea Olympiae reperta.

Ἁ ϝράτρα τοῖς ϝαλείοις. Πατριὰν θαρρῆν καὶ γενεὰν καὶ ταὐτῶ, | αἰ ζέ τις κατιαραύσειε ϝάρρενορ ϝαλείο. Αἰ ζὲ μὲπιθεῖαν τὰ ζί|καια ὂρ μέγιστον τέλος ἔχοι καὶ τοὶ βασιλᾶες, ζέκα μναῖς κα | ἀποτίνοι ϝέκαστος τῶν μὲπιποεόντον κα(τ)θύταις τοῖ Ζὶ Ὀλυν‖πίοι. Ἐπένποι ζέ κ' ἐλλανοζίκας, καὶ τἆλλα ζίκαια ἐπενπ|έτο ἁ ζαμιοργία· αἰ ζὲ μῆνποι, ζί-

φυιον ἀποτινέτο ἐν μαστρά|αι. Αἰ ζ[έ] τις τὸν αἰτιαθέντα ζικαίον ἰμάσκοι, ἐν ταῖ ζεχαμναίαι κ' ἐ|νέχο[ιτ]ο, αἰ ϝειζὸς ἰμάσκοι· καὶ πατριᾶς ὁ γροφεὺς ταὖ[τ]ά κα πάσκοι. | [Τ]υῖ 'ν [αἰε]ί κ' ἔοι ὁ πίναξ ἰαρὸς Ὀλυνπίαι.

Kirchhoff Arch. Zeit. 38 (1880) p. 63, Inschr. aus Ol. n. 362. Nonnulla aliter constituit Ahrens Rhein. Mus. 35 (1880) p. 578 sqq., quem maximam partem secutus est Roehl IGA. 112. Titulum vetustiorem esse quam Ol. 50 (a. Chr. 580) Kirchhoff inde collegit, quod ἑλλανοδίκας in eo unus commemoratur, coll. Pausan. V 9, 4.

Attice: Ἡ ῥήτρα τοῖς Ἠλείοις. Φρατρίαν θαρρεῖν καὶ γενεὰν καὶ | τὰ αὐτοῦ, εἰ δή τις καθιερεύσειεν ἄρρενος Ἠλείου. Εἰ δὲ μὴ ἐπιθεῖεν τὰ δί|καια ὃς μέγιστον τέλος ἔχοι καὶ οἱ βασιλῆς, δέκα μνᾶς ἂν | ἀποτίνοι ἕκαστος τῶν μὴ ἐπιποιούντων καταθύτους τῷ Διὶ (τῷ) Ὀλυμπίῳ. Μηνύοι δ' ἂν ὁ ἑλλανοδίκης, καὶ τὰ ἄλλα δίκαια μηνυ||έτω ἡ δημιουργία· εἰ δὲ μὴ μηνύοι, διπλοῦν ἀποτινέτω ἐν εὐθύν|αις. Εἰ δέ τις τὸν δικαίων αἰτιαθέντα ἱμάσσοι, ἐν τῇ δεκαμναίᾳ (ζημίᾳ) ἂν ἐ|νέχοιτο, εἰ εἰδὼς ἱμάσσοι· καὶ φρατρίας ὁ γραφεὺς ταὐτὰ ἂν πάσχοι. | Τῇδε εἰς ἀεὶ ἂν εἴη ὁ πίναξ ἱαρὸς (ἐν) Ὀλυμπίᾳ.

1 θαρρῆν: infinit. pro imperativo. — ταὐτῶ: propinquos eius, qui fascinatus est. — 4 τοῖ, 6 sq. μαστρά|αι: In titulo Eleo recentioris literaturae n. 264, 21. 28 αὐτοῖ scriptum est; -οι diphthongus in exitu dativi sing. 2. decl. dialecto Eleae cum Aetolica aliisque Graeciae septentrionalis communis est. (Exempla dialecti Aetolicae non pauca exstant in actis manumissionum Delphicarum, quae neglegentiae lapicidarum immerito tribuit G. Curtius, Ber. sächs. Ges. Wiss. 1864 p. 219.) Brevem vocalem in his formis non recentiore aetate ab Eleis receptam esse sed antiquitus apud eos in usu fuisse eo probatur, quod etiam aliis rebus dialectus vetustissima Eleorum cum Aetolica congruit, ut -οις exitu dativi plur. 3. decl., cuius exempla sunt: χρεμάτοις 255, 1. 9, (ἀγώνοιρ 264, 26). (Quae obstare videbatur -κσσι terminatio in fragmento laminae IGA. 122, deleta est, postquam Purgold vidit quartam literam in aere esse T. Restat μαντίνεσ(σ)ι n. 261, 20.) Itaque Kirchhoff (Arch. Zeit. 35 [1877] p. 197) suo iure statuit ο vocalem in exitu dativi sing. apud Eleos semper brevem fuisse. Neque veri dissimile est, etsi vix certum, idem de -αι exitu dativi sing. 1. decl. statuendum

esse, quod fecerunt Kirchhoff (primum Arch. Zeit. 38 [1880] p. 66 sq.) et Roehl. — 5 ἐπένποι: Buecheler, Rhein. Mus. 35 p. 632 probabiliter coniecit ἔνπει idem esse quod »inquit«, ἐπένπει id quod »indicit«. — 6 ζαμιοργία: i. e. τοὶ ζαμιοργοί. Num iure in hoc vocabulo et in similibus Kirchhoff, Roehl, alii ωργ scripserint, dubito; cf. ad n. 274. — 6 sq. μαστρά|αι: G. Curtius, Arch. Zeit. 38 p. 70 postulat μάστρ*αι. — 8 ϝειζός: εἰδώς, ὅτι ἤδη ἠτίαται.

---

254 Lamina aenea Olympiae reperta.

..ιτον ζίφ[υιον ...τὸν? ζικ]αίον ἀποτίνοι..
..έον τονο..........ν Ὀλυνπιάζον..
..τ]ὸ ζαμιοργ[ὸ]........ος ἐ τἰαρὸ παρὰ τὰς πό[λιος?..
..μ]ναῖς κ' ἀποτίνοι κα(τ)θύταις τοῖ Ζὶ τὀλυνπίο[ι..
..καὶ τ]ὰ ζίκαια κὰ(τ) τὸ γράφος τἀρχαῖον εἴε κα.
..ες τὸν γραφέον ταὐτόν. Βολὰ ζέ κ' ἐα...
..ν ζὲ προστιζίον οὐζέ κα μί' εἴε ἀπο..
..ας ἄνευς βολὰν καὶ ζᾶμον πλαθύοντα.

Kirchhoff Arch. Zeit. 37 (1879) p. 47, Inschr. aus Ol. n. 223. Roehl IGA. 111.

7 προστιζίον: i. e. προσθιδίων, ita Kirchhoff; Roehl scripsit πρόστ' ἰζίον, ut esset πρόσθε ἰδίων.

---

255 Lamina aenea Olympiae reperta.

-τοι ζέ κα θεοκόλοι θ....ε αὐτοῖ καὶ χρεμάτοις, ὅτι [αὐ]-
[τ]ὸ γᾶ εἴε ποτ' ἀλάθεια[ν]. Αἰ δ' ἀ*λ(λ)οτρία πολοῖτο, πενταχ-
ατίας κα δαρχμὰς ἀποτίνοι κατὰ ϝέκαστον θέθ*μ(ι)ον (?),
ὅτι ἀδίκος ἔχοι καὶ πολοῖτο ἀδίκος γᾶ(ς)· γνόμα δέ κ' εἴε τἰ-
αρομάο, τὰ δὲ δί(κ)αια δίφυια. Τὸ δίκαιον τόδε κα θεοκό-
λος ἐποπῦ, ἀ λῦ(?) δαμιοργία. Τὸν δ' ἀλ(λ)ο(τρίαν πολέοντα)
ἀποϝελέοι κ' ἀπὸ μαντείας. Τοῖ δὲ νιεαιοκοιθοδας κ'
εἴε τοῖς χρεμάτοις τοῖς ἐν ταῖ ϝοικίαι καὶ σεμελοις
καὶ τοῖς ὑπαδυγίοις τοῖς αὐτῶ.

Purgold et Kirchhoff, Arch. Zeit. 39 (1881) p. 77 sqq., Inschr. aus Ol. n. 382. Roehl IGA. 113 *b*.

1 post lacunam exstat ante ε pars literae, quae ≶ fuisse videtur. — 2 ΑΙΛΟΤΡΙΑΓΟΙΟΙΤΟ: πολοῖτο ex v. 4 dubitan-

ter restituit Roehl. — Β ΒΝΙΑ⋈. — 3 ΔΑΡΥΜΚϟ: [δα]ρχμάς exstat etiam in titulo Eleo IGA. 115. — ΘΕΘΤΜΟΝ, inde θέθμιον, quod per »mensuram agri« dubitanter explicat, scripsit Roehl. Sed fortasse significat fundum elocatum ut alibi pecuniam fenori datam n. 295, 64. — 4 sq. τί|αρομάο: idem vocabulum IGA. 109, ubi Roehl affert Hesychii glossam, ἱερόμας· τῶν ἱερῶν ἐπιμελούμενος. — 6 ἐποπῷ: ἐπωπᾶν i. q. »curare«. — ἆ λῷ: per ἦ θέλοι, ὅπως ἂν θέλῃ dubitanter explicat Roehl. — In fine τὸν δᾶ[μ]ο[ν] scripsit Kirchhoff. — 7 sexta litera est Ᵽ; ἀποϝελέοι ex n. 260 restituit Kirchhoff. — 8 ΙΟΙΚ. — ΑΟΙΚΙΠΙ. — In fine ἒ μέλοις scripsit Kirchhoff; litera inter μ et λ posita est F. — 9 ὑπαδυγίοις: i. q. ὑποζυγίοις.

---

256 Lamina aenea Olympiae reperta.

Τιμοκράτει Μάλεχος θεαρόν (vel -ὂν)........[ἱ]-
αρὸν δ' ἐς ἄλ[λ]ο τὰ δίκαια.εναχαπο...........
τὰ δίκαια κὐ*παδυκίοι ο..δυοιοιστ.............
-νοίοις καὶ τὸν σκευάον τὐπαδυ[κίο]............
-α τριάκοντα μνᾶν τει...οντ..................
-αιος κἀπὸ τὸ βομὸ ἀποϝε[λε..............τὸ]-
ν πρόξενον (vel τὸ]ν προξένον) καὶ τοῖρ ϝάδ[εσι?.......ἔ]-
δοξε καὶ τοῖ δάμοι τριασ......................
Τιμοκράτει πολὲσ[ται].......................
-ς θεαρὸ ἄνδρε δύο.........................
-κοντα [θ]εσμὸ τὰ δίκα[ια...................τ]-
ὰ σκεύεά τε τιμόστον π.......................
τάρεταῖ (vel τ' ἄρεται) καὐτοὶ οἶρ καὶ τ............

Kirchhoff Arch. Zeit. 37 (1879) p. 154 sq., Inschr. aus Ol. n. 303. Roehl IGA. 117.

3 ΚΥΙΠΑΔΥΚΙΟΙ, quod correxit Kirchhoff; cf. ὑπαδυγίοις n. 255, 9. — 7 ΤΟΙΡ an ΤΟΙΑ scriptum sit, dubium est. — ϝάδ[εσι?]: cf. ἅδος in titulo Ionico IGA. 500, 19. — 10 ἄνδρε: tertia litera incerta; fortasse ἀνάρε. — 11 [θ]εσμὸ: prima litera Δ fuisse visa est Purgoldio. — 13 ΡΡΑΙΤ.

---

257 Lamina aenea Olympiae a. 1877 reperta.

Ἀ ϝράτρα τοῖρ Χαλαδρίο(ι)ρ καὶ Δευ|καλίονι. Χαλάδριον ἔμεν αὐτὸν | καὶ γόνον, ϝισοπρόξενον, | ϝισοδαμιοργόν· τὰν δὲ γᾶ[ν] || ἔχεν τὰν ἐν Πίσαι· αἰ δέ | τις συλᾷ, ἐϝέρεν αὐτὸν | πὸ(τ) τὸν Δία, αἰ μὲ δάμοι δοκέοι.

Kirchhoff Arch. Zeit. 35 (1877) p. 196 sq., Inschr. aus Ol. n. 111. Ahrens Philol. 38 (1879) p. 385 sqq. Roehl IGA. 113. — Titulum ad deletam Pisam Ol. 52 (a. Chr. 570) referendum esse putat Roehl.

3 sq. ϝισοπρόξενον, | ϝισοδαμιοργόν: cui liceret muneribus publicis fungi. — 6 συλᾷ, ἐϝέρεν: ita Kirchhoff, qui συλᾷ putat ex συλάοι factum esse. συλαίε, ϝέρ(ρ)εν Ahrens. ἐϝέρεν per μηνύειν explicat Roehl allata glossa Hesychii, εὐείρω· εἴπω. — 7 μὲ δάμοι: ita Ahrens. μὲ(δ) δάμοι, i. e. μετὰ δάμῳ, Kirchhoff.

---

258 [= 115] Lamina aenea Olympiae initio huius seculi effossa; nunc in museo Britannico asservatur.

Ἀ ϝράτρα τοῖρ ϝαλείοις καὶ τοῖς Εὐ|ϝαοίοις. Συνμαχία κ' ε(ἴ)α ἑκατὸν ϝέτεα, | ἄρχοι δέ κα τοί. Αἰ δέ τι δέοι αἴτε ϝέπος αἴτε ϝ|άργον, συνε(ῖ)άν κ' ἀλ(λ)άλοις τά τ' ἄλ(λα) καὶ πὰ||ρ πολέμο· αἰ δὲ μὰ συνε(ῖ)αν, τάλαντόν κ' | ἀργύρο ἀποτίνοιαν τοῖ Δὶ Ὀλυνπίοι τοὶ κα|(δ)δαλέμενοι λατρεϊόμενον. Αἰ δέ τιρ τὰ γ|ράφεα ταῖ κα(δ)δαλέοιτο αἴτε ϝέτας αἴτε τ|ελεστὰ αἴτε δᾶμος, ἐν τἐπιάροι κ' ἐνέχ||οιτο τοῖ 'νταῦτ' ἐγραμ(μ)ένοι.

Boeckh CIG. 11. Ahrens Dial. I p. 280, p. 548. Roehl IGA. 110. — Aetatem huius tituli Olympiadi 70 (a. Chr. 500) fere aequalem esse iudicavit Kirchhoff Alph.[3] 153; a qua sententia vereor ut recte Roehl discesserit, cum inter Eleos hunc secundo loco poneret.

Attice: Ἡ ῥήτρα τοῖς Ἠλείοις καὶ τοῖς Εὐ|αφοις. Συμμαχία ἂν εἴη ἑκατὸν ἔτη, | ἄρχοι δ' ἂν τόδε. Εἰ δέ τι δέοι εἴτε ἔπος εἴτε | ἔργον, συνεῖεν ἂν ἀλλήλοις τά τ' ἄλλα καὶ πε||ρὶ πολέμου· εἰ δὲ μὴ συνεῖεν, τάλαντον ἂν | ἀργύρου ἀποτίνοιεν τῷ Διὶ (τῷ) Ὀλυμπίῳ οἱ κατα|δηλούμενοι λατρευόμενον. Εἰ δέ τις τὰ γ|ράμματα τάδε καταδηλοῖτο εἴτε ἔτης εἴτε τ|ελεστὴς εἴτε δῆμος, ἐν τῇ ἐπαρᾷ ἂν ἐνέχ||οιτο τῷ ἐνταῦθα γεγραμμένῳ.

7 λατρειόμενον: i. e. λατρηϊώμενον, quod ita exclicat Roehl, ut a λάτρις descenderit λατρήϊος, inde λατρηΐωμι.

259 Lamina aenea Olympiae reperta.

— κα θεαρὸς εἴε. Αἰ δ' ἐβενέοι, ἐν τἰαροῖ βοῖ κα θοάδ(δ)οι καὶ κοθάρσι τελείαι καὶ τὸν θεαρὸν (vel τῦν θεαρῦν) ἐν τ[α-χ]ταῖ. Αἰ δέ τις πὰρ τὸ γράφος δικάδ(δ)οι, ἀτελές κ' εἴε ἀ δίκα· ἀ δέ κα ϝράτρα ἀ δαμοσία τελεία εἴ[ε] δικάδ(δ)οσα. Τῦν δέ κα γραφέον, ὄ τι δοκέοι καλ(λ)ιτέρος ἔχεν πὸ(τ) τὸν θεῦν, ἐξαγρέον καὶ ἐ[ν]ποιῦν σὺν βολαῖ πενταχατίον ἀϝλανέος καὶ δάμοι πλεθύοντι δινάκοι· (δινά)κοι δέ κα ἐν τρίτ[ον, αἴ τι ἐνποιοῖ αἴτ' ἐξαγρέοι.

Kirchhoff Arch. Zeit. 39 (1881) p. 81 sq., Inschr. aus Ol. n. 383. Buecheler Rhein. Mus. 36 (1881) p. 621 sq. Roehl IGA. 113 c. — Cum lamina ab initio non minus quam a fine integra sit, tota lex duabus aut pluribus laminis inscripta fuisse putanda est.

Attice: — ἂν θεωρὸς εἴη. Εἰ δὲ ......, ἐν τῷ ἱαρῷ βοὶ ἂν θοάζοι καὶ καθάρσει τελείᾳ καὶ τὸν θεωρὸν (vel τῶν θεωρῶν) ἐν τ[ακτῇ (?). Εἰ δέ τις παρὰ τὸ γράμμα δικάζοι, ἀτελὴς ἂν εἴη ἡ δίκη· ἡ δὲ ῥήτρα ἡ δημοσία τελεία ἂν εἴ[η δικάζουσα. Τῶν δὲ γραμμάτων, ὅτι δοκοίη κάλλιον ἔχειν πρὸς τῶν θεῶν, ἐξαιρῶν καὶ ἐ[μποιῶν σὺν βουλῇ πεντακοσίων ἀολλῶς (?) καὶ δήμῳ πληθύοντι ......(ἄν)·.... δὲ ἂν εἰς (?) τρίτ||ον, εἴ τι ἐμποιοίη εἴτ' ἐξαιροίη.

Non pauca in hoc titulo obscura sunt. — 1 ἐβενέοι: Roehl putat idem verbum esse quod IGA. 115 scriptum sit ἐνεβέο[ι]. — θοάδ(δ)οι: significare videtur i. q. καθίζοι. Buecheler putat inesse notionem similem verborum καθαίρειν, ἀφοσιοῦν; stirpem fortasse eandem esse quae sit in θύειν, cypr. θέαγον, ion. θέειον. — ἐν τ[αχ]ταῖ: ἐν τακτῇ, »die vel sede statuta«, dubitanter explicavit Buecheler. — 3 ΦΓΟΝ. — 4 ΕΕΝΤΑΚΑΤΙΟΝ. — ἀϝλανέος: Buecheler contulit Hesychii glossas: ἀλλανής· ἀσφαλής Λάκωνες, — ἀλανές· ἀληθές, — ἀλανέως· ὁλοσχερῶς Ταραντῖνοι. Tertia earum usus Roehl coniecit stirpem in ἀϝλανέως eandem inesse atque in ἀολλής, ἀλής. — δινάκοι: obscurum est. Roehl scripsit δῖνα κῷ, ut esset: ὁ δεῖνα (i. e. ὁ βουλόμενος) κοφῄη vel κοοίη, »quilibet animadvertito.« — In fin. ΚΑΓΝΤΡΙΤ.

260 Lamina aenea Olympiae reperta.

Ἀ ϝράτρα. Τὸς Ἀναίτο[ς] καὶ τὸ[ς] | Μεταπίος φιλίαν (ἔχεν) πεντάκον|τα ϝέτεα. Κὀπόταροι μὲνπεδέοιαν, | ἀπὸ τὸ βομὸ ἀποϝελέοιάν κα τοὶ πρό|ξενοι καὶ τοὶ μάντιερ. Αἰ τὸ[ν] ὅρκον | παρβαίνοιαν, γνὸμαν τὸρ ἰ[αρ]ομάος | τὸ[ρ] Ὀ]λυνπίαι.

Kirchhoff Arch. Zeit. 38 (1880) p. 118, Inschr. aus Ol. n. 363. Roehl IGA. 118.

Attice: Ἡ ῥήτρα. Τοὺς Ἀναίτους καὶ τοὺς | Μεταπίους φιλίαν (ἔχειν) πεντήκον|τα ἔτη. Καὶ ὁπότεροι μὴ ἐμπεδοῖεν, | (τούτους) ἀπὸ τοῦ βωμοῦ ἀπειλοῖεν ἂν οἱ πρό|ξενοι καὶ οἱ μάντεις. Εἰ (πρόξενοι ἢ μάντεις) τὸν ὅρκον | παραβαίνοιεν, γνῶναι τοὺς τῶν ἱερῶν ἐπιμελητὰς | τού[ς ἐν Ὀ]λυμπίᾳ.

3 μὲνπεδέοιαν: ἐμπεδέω i. q. Attice ἐμπεδόω. — 6 ἰ[αρ]ομάος: cf. n. 255, 4 sq.

---

261 vide pp. 182. 183.

---

262 Titulus Eleus in saxo calcario scriptus.

Ῥιπὶρ | ἐγὸ | Ξεν|ϝάρε[ορ].

Purgold Arch. Zeit. 39 (1881) p. 179. Roehl IGA. 112 *a*. — De ῥιπίρ vide quae adnotavit Roehl, qui usus glossis Hesychii putat hoc vocabulo significari »magnum follem fabri aut carbonarii«.

---

263 Lamina aenea Olympiae reperta.

Συνθῆκα[ι] Θέρον[ι κ]|αἰχμάνορι πὰρ τᾶρ | γὰρ τὰρ ἐν Σαλαμό|ναι, πλέθρον ὀπτὸ καὶ || δέκα. Φάρεν κριθᾶν μα|νασίος δύο καὶ ϝίκατι Ἀλ|φιφο μενόρ· αἰ δὲ λίποι, λυ|σάστο τὸ διφυίο. Πεπάστο | τὸν πάντα χρόνον.

Kirchhoff Arch. Zeit. 37 (1879) p. 158 sq., Inschr. aus Ol. n. 306. Roehl IGA. 121.

Attice: Συνθῆκαι Θήρωνι καὶ | Αἰχμάνορι περὶ τῆς | γῆς τῆς ἐν Σαλμώ|νῃ, πλέθρων ὀκτωκαι||δεκα. Φέρειν κριθῆς μ|νασίους δύο καὶ εἴκοσι Ἀλ|φιφίου μηνός. Εἰ δέ (τι) λίποι, λυ|σάσθων τοῦ διπλοῦ. Κεκτήσθων | τὸν πάντα χρόνον. — [Cetera v. p. 184.]

261 Fragmenta laminae aeneae Olympiae reperta.

[Ἀ ϝράτρα ταῖ δαμιοργίαι, Σκιλλοντίον π]ὰρ τᾶς καταστάσιος, Νικαρχίδαι καὶ
[Πλεισταίνοι. Αἴ τις τõν Σκιλλοντίον ἀπ]ειθέοι, κατισταίε κ' ἁ δαμιοργία ἐς τὰ-
[ν δίκαν, τõν Σκιλλοντίον ποθελομένα ἐπομ]ότας ἀνέρας, αἰ μὰν λεϙταν, ὀσίαν, αἰ δ' ἰ-
[αρὰν λεϙταν, ἰαράν. Αἰ δ' ὁ ἀπειθέσας μ]ὲ μετ' αὐτᾶς ποταρμόξαιτο, πέντε μνᾶ-
[ς ἀποτινέτο τᾶς ἀμέρας κα(τ)θύτας τοῖ Δὶ] Ὀλυνπίοι· αἰ δὲ μετ' αὐτᾶς ποταρμόξαι-
[το, μνᾶς, ὅσας τὸ δικαστέριον τάξαι, ἀποτι]νέτο κα(τ)θύτας τοῖ Δί. Αἰ δ' ἀξιόσυλος γένο-
[ιτο, ἀλλύοιτό κα τὸ χρέος τοῖς χρεμάτοις], συναλλύοιτο δέ κ' ἁ πόλις· αἰ δὲ μὲ συναλλύ-
[εσται δύναιτο εὐθύς, τὸ χρέος κα σχολα]ῖ ὀλιζοῖ ἁ πόλις τοῖ Δὶ Ὀλυνπίοι, ἑκάστο ϝέ-
[τεος ἀποτίνοσα τάλαντον ἂν ἱκανὰ ϝέ]τεα. Αἰ δέ τις στάσιν ποιέοι τõν Σκιλλοντί-
[ον, ἐς τὰν δίκαν αὐτόν κα κατισταιά]ταν Νικαρχίδας καὶ Πλείσταινος ποθελόμ-
[ενοι ἐπομότας ἀνέρας ..... τõν Σκιλλο]ντίον, ὀμόσαντες πὸ(τ) τõν θεõν τõν Ὀλυν-
[πίον· αἰ δὲ μὲ ποταρμόξαιτο, πέντε μνᾶ]ς κ' ἀποτίνοι τᾶς ἀμέρας κα(τ)θύτας τοῖ Δὶ Ὀλυ-
[νπίοι ....]ο, ἐπε(ὶ) κελοίσταν τὸ καταστάτο (?), τὰν δ' ἀ- (vel δα-)
[(μιοργίαν)..........................τ]οῖ ταύτε γεγρα(μ)μένοι τἐπιάροι κ' ἁ πόλις
[ἐνέχοιτο. Θυσίαι δέ κα τὸν θεόν, ἐπεὶ εἴε]μεὺς Ὀλυνπικός, εὐσαβέοι, ἄντινα Νικαρ-
[χίδας καὶ Πλείσταινος φαινοίταν. Κατιστ]αιάταν δέ κα καὶ δαμιοργεοίταν τἐνταῦ-

[τα Νικαρχίδας καὶ Πλείσταινος ὀς καλλ]ίστος, ἐπε[ὶ ἐπ]έτραπον τοῖρ μαντίνεσ(σ)ι (?)· τᾶρ δὲ
[μαντείας ἐναντία μεδέτερος αὐτο͂ν κα πο]ιϝέοι· αἰ δὲ ποιέοι, ἐν τοῖ μεγίστοι ἐνέχοι-
[τό κα ἐπιάροι. Αἰ δέ τις μανύοι τινὰ ὀς] τὸ γράφος τόδε κα(δ)ζαλέμενον, γνοῖά-
[ν κα τοὶ ἰαρόμαοι (?) καὶ ἐν τἐπιάροι κα] ἐνέχοιτο το[ῖ τ]ε͂δε γεγρα(μ)μένοι.
[Δίκας δὲ ἔμεν τᾶς προγενομένας στάσι]ος· ὄσοι δ' ἔ[ρρον, κ]ριθέντον ἀνδροφό[νοι· ὀ δ' ἐ]-
[νδαμέον παρείε κα ποτὶ Νικαρχίδαν καὶ Π]λείσταιν[ον καὶ κ]ρίνοιτο. Αἰ δέ τι[ς] καὶ σ-
[. . . . . ἐν τἐπιάροι κα ἐνέχοιτο τοῖ τ]ε͂[δε γεγρα(μ)]μένοι· ταὶ δὲ δίκαι. . . .
[. . . . . πλε]ίστον (?) δὲ ϝιδ[ίον (?)] . . . .

Partem huius tituli ed. Kirchhoff, Arch. Zeit. 37 (1879) p. 48, post eum Roehl IGA. 119; additis aliis fragmentis idem denuo edidit et illustravit Arch. Zeit. 39 (1882) p. 334 et IGA. 119 add. Supplementa a Roehlio proposita, quae repetii, quamquam magnam partem incerta sunt, tamen id videtur rectissime perspexisse, hanc esse legem ab Eleis constitutam, secundum quam civitas Scilluntiorum Nicarchidae et Plistaeno administranda tradita sit.

2 **TET**. — ἁ δαμιοργία: Nicarchidas et Plistaenus. — 3 λεϙταν: Hesychii glossam λέφμι· θέλοιμι ἄν, attulit Kirchhoff. — 5 **AYTAN**. — 6 sq. Αἰ δ' ἀξιόσυλος κτλ.: Roehl ita explicat: »Si necesse erit bona rei publicare, ut multa pendatur, bonis suis ille debitum solvito.« — 15 μεύς: i. e. μείς, μήν. — εὐσαβέοι: i. e. εὐσεβοίη. — 17 μαντίνεσ(σ)ι: Roehl scripsit μαντί*εσ(σ)ι. Exspectabatur μαντίοις.

[263] 1 **N** exstat in aere. — 4 ὀπτό: errore **Γ** pro **K** scriptum esse putat Fick, Gött. gel. Anz. 1883 p. 121. — 5 sq. μα|νασίος: Hesychius: μνασίον· μέτρον τι διμέδιμνον. — 7 sq. λυ|σάστο, πεπάστο: dual., nam Thero et Aechmanor communiter agrum publicum conduxerunt.

---

264 [= 116] Lamina aenea effossa Olympiae.

Θεόρ. Τύχα. |

Ὑπὸ Ἑλλανοδικᾶν τῶν περὶ | Αἰσχύλον, Θυίω. | Ὅπωρ, ἐπεὶ Δαμοκράτηρ Ἀγήτορορ || Τενέδιορ πεπολιτευκὼρ παρ᾽ ἀμέ, | αὐτόρ τε καὶ ὁ πατάρ, καὶ ἐστεφανωμέ|νορ τόν τε τῶν Ὀλυμπίων ἀγῶνα καὶ | ἄλλοιρ καὶ πλείονερ, ἐπανιτακὼρ ἐν τὰν | ἰδίαν τάν τε τῶ πατρὸρ θεαροδοκίαν δια||δέδεκται καὶ ὑποδέχεται τοὶρ θεαροίρ, | ὁμοίωρ δὲ καὶ τοῖρ λοιποῖρ τοῖρ παρ᾽ ἀμέων | τὰν πᾶσαν χρείαν ἐκτενέωρ καὶ ἀπρο|φασίστωρ παρέχεται, φανερὰν ποιέων | τὰν ἔχει εὔνοιαν ποτὶ τὰν πόλιν, καθὼρ || πλείονερ ἀπεμαρτύρεον τῶμ πολιτᾶν· | ὅπωρ δὲ καὶ ἁ πόλερ καταξίαιρ φαίναται | χάριτερ ἀνταποδιδῶσσα τοῖρ αὐτὰρ (sic) | εὐεργέταιρ, ὑπάρχην Δαμοκράτη πρό|ξενον, καὶ εὐεργέταν δ᾽ ἦ||μεν τᾶρ πόλιορ αὐτὸν καὶ γένορ, καὶ τὰ | λοιπὰ τίμια ἦμεν αὐτοῖ, ὅσσα καὶ τοῖρ ἄλ|λοιρ προξένοιρ καὶ εὐεργέταιρ ὑπάρχει παρὰ | τᾶρ πόλιορ. Ἦμεν δὲ καὶ ἀσφάλειαν καὶ πολέμω | καὶ εἰράναρ καὶ γᾶρ καὶ βοικίαρ ἔγκτησιν καὶ || ἀτέλειαν καὶ προεδρίαν ἐν τοῖρ Διονυσιακοῖρ | ἀγώνοιρ, τᾶν τε θυσιᾶν καὶ τιμᾶν πασᾶν | μετέχην, καθὼρ καὶ τοὶ λοιποὶ θεαροδόκοι | καὶ εὐεργέται μετέχοντι. Δόμεν δὲ αὐτοῖ | καὶ Δαμοκράτη τὸν ταμίαν ξένια τὰ || μέγιστα ἐκ τῶν νόμων. Τὸ δὲ ψάφισμα | τὸ γεγονὸρ ἀπὸ τᾶρ βωλᾶρ γραφὲν ἐγ χάλκω|μα ἀνατεθᾶ ἐν τὸ ἱαρὸν τῶ Διὸρ τῶ Ὀλυμπίω· | τὰν δὲ ἐπιμέλειαν τᾶρ ἀναθέσιορ ποήασσαι | Αἰσχίναν τὸν ἐπιμελητὰν τᾶν ἵππων· || περὶ δὲ τῶ ἀποσταλᾶμεν τοῖρ Τενεδίοιρ | τὸ γεγονὸρ ψάφισμα ἐπιμέλειαν ποιήαται | Νικόδρομορ ὁ βωλογράφορ, ὅπωρ δοθᾷ τοῖρ | θεαροῖρ τοῖρ ἐμ Μίλητον ἀποστελλομέ|νοιρ ποτὶ τὰν θυσίαν καὶ τὸν ἀγῶνα || τῶν Διδυμείων.

Edidit Kirchhoff, Arch. Zeit. 33 (1876), p. 183 sqq., qui post Alexandri magni mortem sed fortasse ante initium dominationis Romanae hoc decretum factum esse putat. — Rhotacismus

eam legem adeptus est, ut omnes σ literae in fine vocabulorum positae in ρ mutatae sint. Psilosin veteris dialecti Eleae propriam non servatam esse vix putaverim; nam καθώρ 14. 27 ex sermone volgari irrepsit eadem ratione, quam videre licet in titulis Lesbiacis.

8 ἐπανιταχώρ: subest ἰτάω verbum frequentativum; cf. εἰταχεῖν· ἐληλυθέναι, Hesych. — 8 πλείονερ, 17 χάριτερ: similiter nom. pro acc. positus est in titulo Achaico n. 267. — 33 ποήασσαι: i. e. ποιήσασθαι. — 36 ποιήαται: coni. aor.

---

265 Basis lapidis calcarii Olympiae effossa.

Ϝαλείων | περὶ ὁμο|νοίαρ.

W. Dittenberger, Arch. Zeit. 34 (1876) p. 219, Inschr. aus Ol. n. 22. — Noli aetatem huius tituli nimis antiquam putare propter usum digammi. Nam hanc literam in ipso nomine Eleorum diutissime servatam esse docent nummi seculi a. Chr. secundi, quibus inscripta sunt FAΛ, FAΛEIΩN vel similia; cf. Weil, Zeitschr. f. Numism. VII (1880) p. 119.

XVI. Tituli Achaici
et coloniarum Achaicarum.

1. Tituli Achaici.

266 In casside in Alpheo reperta.

Ζενὸς Ὀλυνπίο.

CIG. 30. IGA. 123. — Roehl monet scripturam tituli cum nulla alia congruere nisi cum Achaica ex titulis coloniarum nota.

---

267 Pila calcaria, quae exstat inter rudera Oleni oppidi.

A

Ἐπὶ θεοκόλου Ἀριστολαΐδα, | βουλάρχου Τιμοκράτεος, | προστάτα Κύλ[λ]ιος, | γραμματιστᾶ

δαμοσι‖οφυλάκων Μενάνδρου, | τούςδε ἁ πόλις πολί|τας ἐποιήσατο συμπολε|μήσαντες τὸμ πόλεμον καὶ τὰμ πόλιν συνδια‖σῴσαντες, κρίνασα κα|θ' ἕνα ἕκαστον· |

Φίλων Θράσωνος, | Λύκων Ἀρισταινέτου, | Κλεαφάνης Τιμοφάνεος, ‖ Νικομένης Τιμοφάνεος, | Ἀθανάδας Ἐπεύκτου, | Ἐπιτέλης Κόνωνος, | Κλέων Ἐπιτέλεος, | Νίκαρχος Νικάρχου, ‖ Σαμίδας Τιμέα, | Ξέναρχος Τιμέα, | Ἀριστόδαμος Μεγακλέος, | Εὔαπτος Μεγακλέος, | Θρασύβουλος Ἀδειμάντου, ‖ Λύκιος Νίκωνος, | Σάτυρος Ἀρίστωνος, | Εὔφαμος Φιλοδάμου, | Φιλόμηλος Εὐδίκου, | Σωσικράτης Ἀλεξίωνος, ‖ Σωτίων Σωσικράτεος, | Εὐκράτης Στρομβ[ιχίδ]α, | Εὔδοξος Θεοξένου, | Κλέων Ἀλε[ξί]ωνος, | Πυθίων Εὐξένου, ‖ Λεπτίνας Λεπτίνα, | Ξενόδοκος Νευμηνίου, | Τιμοκλῆς Χαιρέα, | Τίμων Εὐάνδρου, | Θεοκλῆς Σίμωνος, ‖ Πύρων Πύρωνος, | ....ωνος.

B

Νικάδας | Νικάνορος, | Μενέστρατο[ς] | Θεοπόμπου, ‖ Δαμονίδας | Νεικολάου, | Βουθύων | Προκρίτου, | Δεινίας ‖ Θηρύωνος, | Λέων Βουθύωνος, | Νίκαρχος | Κλεοφάνεος, | Πολυξενίδας ‖ Μνασιππίδ[α], | Σωσίστρατος | Δεινία, | Δράκας | Θεοδότου, ‖ Σαμίδας | Εὐάρχου, | Ξενοχάρης | [Ξ]ενάρεος, | [Σ]ώσιππος ‖ [Ἡ]ρακλείδα, | [Εὔ]μηλος | [Ἀσ]κλαπιοδώρου, | [Ζη]νόδωρος | [Ἀσ]κλαπιοδώρου, ‖ [Ἑρ]μαῖος | [Σ]ίμωνος, | Φίλιστος | Ἡρακλείδα, | Δαμάτριος ‖ Ἀπολλοφάνεος, | Νικόστρατος | Διονυσίου, | Ἀμμώνιος | Πεισία, ‖ [Ἄ]φαιστος | Ἀριστοκλέος, | [Δ]ρόμων | [Σί]μωνος.

Jules Martha, Bull. Corr. Hell. II (1878) p. 41 sqq. Fick, Bzb. Btr. V (1880) p. 320 sq. n. 1. — Formae literarum videntur esse tertii a. Chr. seculi.

A 7 sq. συμπολε|μήσαντες, 9 sq. συνδια|σῴσαντες: acc., cf.

δαμοσιοφύλακες acc., τοὺς ἐλάσσονες in titulo Olenio Bull. Corr. Hell. II p. 96 sq., 4. 12. — 31 Στρομβ[ιχίδ]α Fick, Στρομβ[υλίδ]α Martha. — *B* 28 [Ζη]νόδωρος Martha, [Μη]νόδωρος Fick.

---

268 Fragmentum pilae calcariae repertum inter rudera Oleni oppidi.

vv. 1—12:

[. . . . . τ]οῖσδε εἶμεν τὰν πολι[τείαν] ἔποι
[. . . . . π]όλι τὸν θέλοντα κοινωνε[ῖν Δυμ]αί[ων]
[. . . . . . . ὄντ]α ἐλεύθερον καὶ ἐξ ἐλευ[θέρω]ν τα. . .
[. . . . . γρα]μματέος τοῖς Ἀχαιοῖς Μεν[ανδρίδ]α
[. . . . . ἐν] τᾷ πρώτᾳ ἑξαμήνῳ, τὸ δὲ λοιπὸν
[. . . . ἐν . . . μ]ηνὶ ὡς οἱ Ἀχαιοὶ ἄγοντι· εἰ δὲ μὴ δοίη
[. . . . ἐν τῷ ἐνι]αυτῷ τῷ ἐπὶ Μενανδρίδα· ἀλλὰ
. . . . μὴ ἔστω αὐτῷ ἁ πολιτεία. Εἰ δέ τις
[ἔχοι υὸν νεώτερον] ἑπτακαίδεκα ἐετέων ἢ θυγατέρα
[. . . . . . . ὀμοσά]σθω ἐμ βουλᾶ ὁ πατὴρ τὸν νόμιμον ὅρ-
[κον· ἦ μὰν εἶμεν (?) α]ὐτοῦ γενεὰν καὶ [νεώ]τερον ἑπτα-
[καίδεκα ἐτέων τ]ὸν υὸν παῖδ[α] . . . . . ἐξομοσα-
. . . .

vv. 26—34:

. . . . Ἀ-
[πογραφέντω δὲ] ποτὶ τὸμ βούλαρχον καὶ [προσ]τάταν δα-
[μοσιοφυλάκω]ν καὶ γραμματιστάν· τοὺς δὲ ἀπογ-
[ραφέντας υῶ]ν ὀμοσαμένους τὰν ἁλικίαν καὶ δόν
[τες τάλαντον], καθὼς γέγραπται διακλαρωσάν-
[τω αἱ συναρ]χίαι ὡς ἰσότατα ἐπὶ τὰς φυλάς, καὶ λα-
[χόντω ἐπὶ τὰν] Σπατίδα, ἐπὶ τὰν Δυμαίαν, ἐπὶ τὰν Θεσμι-
[αίαν, καὶ κοινω]νεόντω θεοκολιᾶν ἂν ἁ πόλις καθιστᾷ ἐν
[τῷ μέρει τῷ ἑ]αυτῶν καὶ ἀρχείων τῶν τε εἰς τὸ κοινὸν
[φόρων καὶ τᾶς εἰσφορ]ᾶς τᾶς [τε] εἰς τὸ κοινὸν καὶ γ. . .

Jules Martha, Bull. Corr. Hell. II (1878) p. 94 sqq. Fick Bzb. Btr. V (1880) p. 321 sq. n. 2. — Lapis supra et infra et a sinistra parte mutilus est. Formae literarum eaedem fere atque in n. 267.

2 suppl. Fick. — 9 ἐετέων: num latet ϝετέων? — 26 sqq.

supplementa fere omnia sunt Fickii. — 28 fin. ΔΟΙ. — 30 ϹΙΑΙ. — 32 [κοινω]νεόντω θεοχολιᾶν ἂν ἁ πόλις καθιστᾷ: restituit Martha p. 101. — In fine ΕΙ.

---

269 Nummi Aegirae oppidi.

Αἰγιρατᾶν.

Friedlaender, Zeitschr. f. Num. V (1878) p. 6.

---

2. Tituli coloniarum Achaicarum.

In insulis Cephallenia et Ithaca literaturam Achaeorum in usu fuisse demonstravit Kirchhoff Alph.[3] 156 sq. Idem p. 154 enumeravit colonias Achaicas in Magna Graecia sitas, quarum monumenta epigraphica Achaicis adscribenda sunt.

270 Fragmentum pori lapidis incertae originis, quod Athenis in collectione Philemonis asservatur.

Δαμαινέτο(υ) | το(ῦ) Παλέος.

Kirchhoff Alph.[3] 156. Roehl IGA. 334. — Utrum -ου an -ω sit terminatio genetivi, non certum est.

---

271 In lapide tofino Palae in insula Cephallenia reperto.

Μνασίας
Κλεάριος
σαοστρεῖ

CIG. 1928. IGA. 335. Primum nomen a dextra ad sinistram scriptum est. — »Mnasias Clearis filius dedicat pro salute.«

---

272 Fragmentum tibiae lapideae Ithacae repertum.

Ἱαρός.

Kirchhoff Alph.[3] 156. Roehl IGA. 337.

273 In abaco statuae parvae aeneae, quae Posidoniae reperta nunc in museo Berolinensi asservatur.

Τάθάνα|ι Φιλλὸ | Χαρμυλί|δα δεκάτα[ν].

IGA. 542. — Literae a dextra ad sinistram spectant.

---

274 [= 79] Tessera aenea reperta in Bruttiis prope oppidum Policastro.

θεὸς Τύχα. Σάοτις δίδ|οτι Σικαινίᾳ τὰν ϝοι|-
κίαν καὶ τἆλλα πάντ|α. Δαμιοργὸς Παραγό-
ρ||ας· πρόξενοι Μίνκον, | ( )Αρμοξίδαμος, Ἀγάθ-
αρ|χος, Ὀνάτας, Ἐπίκο(υ)ρ|ος.

CIG. 4. IGA. 544. — Scriptura huius tesserae anno 510 vetustiorem esse docet Kirchhoff Alph.³ 155.

4 Δαμιοργός: ο vocalis ante ρ brevis est. Hanc correptionem dialecti Achaicae propriam esse dicit Ahrens Dial. I 234. Exempla affert CIG. 1542. 1543. 1567 (Locr. n. 232). Accedunt: Bull. Corr. Hell. II p. 96 sq. v. 16, praeterea tituli sub dominatione societatis Achaicae scripti Megar. n. 104, 19; Arcad. Orchomen. Mitteil. arch. Inst. VI p. 304 sq. v. 3. 9; fortasse etiam Tegeat. Le Bas Voy. arch. II n. 340 *a*. Sed non desunt exempla eiusdem correptionis in titulis alius originis: Messen. n. 47, 18. Cnid. n. 166, 7; 167, 8. 9; Tel. 169, 2 (cf. ad n. 187, 1). Pamphyl. Stud. IX p. 91 n. 1. Itaque putandum est eam latius pervolgatam fuisse. — 7 Ἐπίκο(υ)ρος: an Ἐπίκορος (per ω scriptum)?

---

275 »In acie securis aeneae repertae in Calabria citeriore inter parietinas prope S. Agatam.« Roehl.

Τᾶς Ἕρας ἱαρός | ε(ἰ)μι τᾶς ἐν
πεδί|ῳ· ϙυνίσϙο|ς με ἀνέθε||κε
( )όρταμο|ς ϝέργον | δεκάταν.

Dittenberger Herm. 13 (1878) p. 391 sqq. Roehl IGA. 543.

5 ( )όρταμος: i. e. ὁ ἄρταμος, lanius.

---

276 Inscriptio vasculi in Magna Graecia reperti.

Δίς πε(ι) πὺξ Ἶρος τοῖόν νυ ἐπάσατο χέε(ι)ν.

CIG. 5. IGA. 550. Cf. Kirchhoff Alph.[3] 154. — Versum hexametrum dubitanter restituit Roehl: »Bis alicubi pugilatu Irus tale vas nunc adeptus est.«

ΓVI.

---

277 Stela terrae coctae prope Metapontum reperta.

Χαῖρε, Ϝάναξ (ʽ)Ηράκλε(ι)ς. | sic
Νικόμαχός μ' ἐπόε(ι), || (ʽ)ό τοι κεραμεύς μ' ἀνέθεκε. |
δὸς δέ Ϝ' ἰν ἀνθρόποις | δόξαν ἔχε(ι)ν ἀγαθ(ά)ν.

Comparetti, Rivista di filologia XI p. 1 sqq. Roehl, Imagin. inscr. Gr. ant. (1883) XV, 5. Hiller, Jahrb. Philol. Paed. 127 (1883) p. 144.

3 Inter ὁ et τοι Hiller supplet δέ.

---

278 Nummus Metaponti oppidi, in museo regio Berolinensi.

ʽΥγίεια.

Friedlaender, Archaeol. Zeit. 31 (1874) p. 102. — Spiritus asperi nota est ⊢ ut in tabulis Heracleensibus n. 40. 41.

---

279 Nummus Lai oppidi, in museo regio Berolinensi.

ΛαϜῖνος.

Friedlaender, Archaeol. Zeit. 31 (1874) p. 100.

XVII. Tituli Boeotici.

Meister, Die inschriftlichen Quellen des boeotischen Dialekts. Bzb. Btr. V (1880) p. 185—238. VI (1881) p. 1—66.

Larfeld, Sylloge inscriptionum Boeoticarum dialectum popularem exhibentium. Praemittitur de dialecti Boeoticae mutationibus dissertatio. Berolini 1883.

e vocalem longam a Boeotis iam ante receptam literaturam Ionicam per *ei* pronuntiatam esse demonstrare studet Meister Dial. I 219, qui ipse in titulis vetustioribus, ubicumque **E** longam vocalem significat, literis minusculis ει scripsit. Aliter iudicavit Roehl, qui eisdem locis *η* scripsit. Larfeld Meisteri exemplar secutus est. Sed quamquam sententia eorum probabilis videbatur, tamen nolui rem incertam tamquam certam diiudicare. Eadem causa fuit, cur pro **Y** litera in titulis vetustioribus non scriberem (ο)υ, quod fecit Larfeld (cf. Meister Dial. I 233. Larfeld Dissertat. p. XXII sq.).

1. Acta foederis Boeotici et tituli incertae originis.

280 Ad Acraephiam in ruderibus oraculi Apollinis Ptoi supra fontem, qui ἡ Περδικόβρυσις nominatur. Keil.

Βοιωτοὶ Ἀπόλλωνι Πτωΐοι ἀνέθιαν, ἄρχοντος Βοιωτοῖς Φιλοκώμω Ἀ[ντ]ιγ[ενε]ιΐω Θεσπιε[ῖος], | ἀφεδριατευόντων Ἐμπεδο[κ]λεῖος Ἀθανοκριτίω Ταναγρήω, Πούθωνος Α[ὐ]τομειδε[ιΐ]ω Ἐρχομενίω, | Ἱπποτίωνος ϝαστυμειδοντίω Κορωνεῖος, Ἐπιϝά[λτ]ιος Μαχωνίω Θειβήω, Νικίωνος Γ[ρ]υλ[ί]ωνος Πλαταεῖος, | Ἀριστοκλεῖος Ἀγασιήω Ἀνθαδονίω, Σάωνος Θιο[τ]ιμίω Θεισπιεῖος, μαντευομένω Ὀνυμάστω Νικολαΐω Θεισπιεῖος.

Ulrichs, Bull. Inst. arch. 1838 p. 109 sqq. et iterum Reisen u. Forschungen I p. 238. 247. Keil, Syll. i. B. (1847) p. 69. n. X. Le Bas, Voy. arch. II n. 583. Meister, Bzb. Btr. VI p. 19, Acr. 3. Larfeld, Syll. 181. — De aetate huius tituli cf. ad n. 281 et 293.

2 ἀφεδριατευόντων: i. e. ἀφιδρυόντων; munus collocandi tripodis delatum erat septem boeotarchis. — 4 **ΩΝΥΜΑΣΤΩ**.

---

281 Lapis repertus iuxta Περδικόβρυσιν fontem, non procul a Karditza vico.

Εὐμείλω ἄρχοντος Ἐπικουδείω Κορωνέως | τοῖ Ἀπόλλωνι τὸν τρίποδα ἀνέθειαν Βοιωτοὶ μαντευσ|αμένω τῶ θεῶ καὶ ἀποδόντος τὰν ἀγαθὰν μαντείαν, | Βοιωτοῖς ἀφεδριατευόντων Εὐωνυμοδώρω Πυθουνίω Ἁλι||αρτίω, Φιλίππω Ἀριστοκρατείω Θεισπιείως, Μοιρίχω Εὐβώμω Πλατ|αιείως, Τρίακος Ἀντιδωρίω Θειβήω, Τερψίαο Φορυσκίω Ἐρχομενίω, | Μ[νασ?]ίνω

Θεδωρίδαο Λεβαδήϊω, Ἀμεινοκλεῖος Ἀμεινίαο Ταν|αγρήω, sic Ὀν[υ]μάστω Νικολαΐω Θεισπιεῖος μάντιος.

Lolling, Mitteil. arch. Inst. III (1878) p. 86 sqq. Meister, Bzb. Btr. VI p. 19 sq. Acraeph. 4. Larfeld, Syll. 182. — Et hunc titulum et praecedentem paulo post a. 315 scriptum esse argumentis ex historia petitis probare studuit Meister. Utrumque medio seculo tertio tribuit Larfeld. Philocomus archon, cuius anno scriptus est titulus n. 280, est etiam in n. 292.

4 Πυθουλίω scripsit Meister. — 5 Θεισπιείως, 6 Πλαταιείως: Lolling et Meister postulaverunt -εῖος; sed cf. 1 Κορωνέως formam ex sermone volgari receptam et exempla ει pro ε scripti, quae collegit Blass, Aesspr. 30 sq.

---

282 Orchomeni (Scripu) in ecclesia monasterii in basi semicirculari. Boeckh.

Βοιωτοὶ τὸν τρίποδα ἀνέθεικαν | τῆς Χαρίτεσσι κὰτ τὰμ μαντεΐαν | τῶ Ἀπόλλωνος, ἄρχοντος | Σαμίαο Ἰσμεινικέταο Θειβήω, || ἀφεδριατευόντων | Μελάννιος Νικοκλεῖος Ἐρχομενίω, | Ἡσχρίωνος Θερσανδρίχω Κορωνεῖος, | Ἀρνοκλεῖος Ἀντιοχίδαο Ἀνθαδονίω, | Ἀρίστωνος Μεννίδαο Θεσπιεῖος, || Πραξιτέλιος Ἀριστοκλίδαο Θειβήω, | Θιομνάστω Ἑρμαΐκω Ταναγρήω, | Πούθωνος Καλλιγίτονος Ὠρωπίω, | γραμματεύοντος | Διοκλεῖος Διοφάντω Πλαταεῖος, || μαντευομένω | Δινίαο Ἐροτίωνος Θεσπιεῖος, | θιπροπίοντος | Οἰνοχίδαο Εὐμενίδαο Ἐρχομενίω, | [ἱαρ]ατεύοντος || Λαμπρίαο Θειδοτίω Ἐρχομενίω.

CIG. 1593. Le Bas Voy. arch. II n. 646. Keil Syll. i. B. p. 101 sqq. Meister Bzb. Btr. V p. 206 sq. Orch. 13. Larfeld Syll. 15. — Titulus eiusdem fere aetatis est atque duo praecedentes.

17 ΟΙΠΡΟΠΙΟΝΤΟΣ: θιπροπίοντος; neque hanc formam neque 20 Θειδοτίω vere Boeoticam esse monet Meister Dial. I p. 248.

---

283 Aegosthenis.

Νικίας Διονυσίου ἔλεξε προβεβωλευμένον | [ε]ἶμεν αὐτοῖ· ἐπιδὴ ἐστι τῆ πόλι Σιφείων προ[ϋ]πάρχωσα εὔνοια ἐκ προγόνων κὴ

ἐν προεδρίαν | [κ]αλῖ ἁ πόλις Ἡγοσθενιτάων ὁπόττοι κα παρ-ἔ[ω]νθι Σιφείων, κὰ(τ) ταὐτὰ δὲ κὴ τοὶ Σιφεῖ[ε]ς τὰς | αὐτὰς τιμὰς ἐκτεθήκανθι Ἡγοσθενίτης κὴ ἐ[π]ὶ τὰς κοινὰς συνόδως καλέονθι τὼς παργινυ|μένως· ὅπωτ ὦν φανερὸν ἴει, ὅτι τὰν ὁμόνοι|αν διαφυλάττι τὰν ἐκ τῶν προγόνων παρδοθεῖ|σαν ἁ πόλις Ἡγοσθενιτάων πὸτ τὰν πόλιν Σιφε|ίων, δεδόχθη τοῖ δάμοι· ὁπόττοι κα παργινύ|ωνθη Σιφείων ἐν τὰς κοινὰς θυσίας, ἃς δαΐζοι ἁ πό[λ]ις, ὑπαρχέμεν αὐτοῖς καθάπερ κὴ τοῖς πολ|ίτης· τοὶ δὲ πολέμαρχοι, ἐπί κα τὸ ψάφισμα κου|-[ρ]ωθείει, ἀνγραψάνθω τὸ ψάφισμα ἐν στάλαν ἐ[ν] | τοῖ Μελαμποδείοι.

Le Bas Voy. arch. II, 1 (Explic. p. 1 sq.). Boeckh, Klein. Schr. VI, 363 sqq. Meister, Bzb. Btr. VI p. 52 sq., Var. 6. Larfeld Syll. Append. 1. — Aegosthena cum societate Boeotorum coniuncta erant aa. 223—192 a. Chr.; itaque cives in hoc decreto usi sunt dialecto Boeotica. Ex eadem nonnulla irrepserunt in eam dialectum, qua ceteri tituli Aegosthenici a Lebasio l. l. editi scripti sunt, quae Megarica illius aetatis fuisse putanda est. Reperiuntur enim: τοῖ Μελαμποδείοι l. l. 2, Καφισία[ο] ἄρχοντος ἐν Ὀγχηστοῖ 3, Ἀλ[κ]ίμω gen. 11, ἐν πελτοφόρας 4. 5. 7 a, ἀπε[γρ]άψανθο 7 a. In vicem supra v. 1 Διονυσίου scriptum est non Boeotice.

5 **ΣΙΦΕΙΩΝ**. — 8 ὅπωτ: vitium lapicidae esse censet Meister Dial. I 260. — 14 sq. κου[ρ]ωθείει: cum formis Homericis δαμήῃς, φανήῃ comparat Meister Dial. I 283.

284 Lapis repertus in radicibus Cithaeronis montis prope vicum Crecucium, ad occidentem viae quae Athenis fert Thebas. Roehl.

— ἀνέθειαν ταῖ Δάματρι.

Post alios edidit Roehl IGA. 144. Larfeld Syll. 271.

285 Ad ansam cyathi nigri reperti in vico Sialesio inter Thebas et Phylen sito.

Βελφίς.

IGA. 186. Larfeld Syll. 303. — Mulieris nomine Delphidis vasculum fuisse monet Roehl.

286 In margine superiore canthari Boeotici, qui Athenis asservatur in collectione Philemonis.

Χάρες ἔδοκε Εὐπλοίονί με.

Kirchhoff Alph.[3] 131. Roehl IGA. 219. Meister Bzb. Btr. VI p. 51, Var. 2. Larfeld Syll. 573. — Similia nomina Εὔπλους, Εὐπλοία comparat Meister.

---

287 In vase vetusto incertae originis.

Κροῖσος.

Leake, Travels in North. Gr. II p. 472, adn. Meister, Bzb. Btr. VI p. 51, Var. 3. — Meister dubitat, an titulus Tanagraeus sit. Sed rationis οι per οε scribendi extra Tanagram exempla non desunt; cf. ποιούμενοε, quod exstat in titulo Chaeronico literaturae recentioris apud Prellerum, Ber. sächs. Ges. Wiss. 1854 tab. X.

---

288 Tituli sepulcrales inter Thebas et Tanagram reperti.

1 Βοϙᾶς. — IGA. 183. Meister Bzb. Btr. V p. 223, Tan. 17. Larfeld Syll. 380. Meister postulat vel Βούας vel Βοΐας. Βωκᾶς intellegendum esse docuit Fick, Gött. gel. Anz. 1883 p. 121 sq.

2 Θιοτέλια. — IGA. 142. Larfeld Syll. 289. ΘΙΟΤΕÞΙΑ.

3 ϝικαδίον. — IGA. 235. Larfeld Syll. 291. EIKADION, cuius primam literam non mutaverunt Roehl et Larfeld.

---

2. Tituli Orchomenii.

289 Tituli sepulcrales literatura vetusta scripti.

1 Ἐπὶ Βακεύϝαι. Ἐπὶ Δέχσονι. } CIG. 1639. IGA. 168. Larfeld Syll. 1.

2 Ἐπ' Ἀρισστοδίκαι. — IGA. 217. Larfeld Syll. 4.

3 Κυδίλλε. — CIG. 1643. IGA. 258. Larfeld Syll. 2. De nominibus hypocoristicis Boeotorum in -ης vel -εις post consonam geminatam exeuntibus, quorum ς finale omittitur, cf. Blass, Misc. epigr. 126 sq. et Rhein. Mus. 36 (1881) p. 604 sqq. Roehl (ad IGA. 157) scripsit Κυδιλλῆ et eadem ratione cetera.

4 Δάμασσις.
Δαμοφιλ . . . . } IGA. 292. Larfeld Syll. 8.

5 Ἑραιόδορος. — IGA. 294. Larfeld Syll. 9.

6 Ἀριστομέδα.
Κεφαλλίς. } IGA. 296. Larfeld Syll. 7.

7 Φίλον τοῖ Κυπαρίσσοι. — IGA. 297. Larfeld Syll. 5.

---

290 Orchomeni.

Μύριχος Πολυκράτιος, Ἱαρώνυμος Διογίτονος, | ἀνδρέσσι χοραγείσαντες νικάσαντες Διωνύσοι | ἀνέθειχαν Τίμωνος ἄρχοντος, αὐλίοντος Κλεινίαο, | αἴδοντος Ἀλκισθένιος.

CIG. 1579. Meister Bzb. Btr. V p. 203, Orch. n. 9. Larfeld Syll. 24.
1 Μύριχος: utrum υ sit genuinum an ex οι factum, dubitatur; cf. Larfeld Syll. p. XIX.

---

291 Orchomeni.

[Τοὶ ἱππεῖες το]ὶ ἐν τὰν Ἀσία[ν] στ[ρατευσάμενοι | βασιλεῖο]ς Ἀλεξάνδρω στραταγίοντος . . . . | [Θι]οδωρίω ϝιλαρχίοντος, Διῒ Σωτε[ῖ]ρι ἀν[έθιαν] | . . . ίππει Θιογιτόνιος, Μνασίδικος Ἀθανοδ[ώριος], || Δαμοσθένε[ι]ς Πουρρίνιος, Θιόδοτος Πο[υθι]ῆος, | Δι[ο]γίτων Διωνύσιος, Δορκείδας Μελάμβι[ος?, | Πολ]ύξενος Ξενοτίμιος, Ἀντιγενίδας Σιμού[λιος], | Καλλίκρων Εὐρυφαόντιος, Ἥχμων Ἡχμόνιος, Σ[ιμ]μίας Φαούλλιος, Θοίνων Τιμογιτόνιος, Διόδ[ωρο]ς Τελεσάρχιος, Καφισόδωρος Ἀρξίλλιος, Ἀπολλό[δωρος Τελέσταο, Θιόπομπος Ὀλυμπίχιος, Θιοδε[ξίλας Μνασικλεῖος, Καλλισθένε[ι]ς Μενάνδριος, | ϝαναξίων Σα-

ὠνδαο, | Πανκλε[ί]ς Δωροθεῖος, Εὐρυβωτάδας Τάλλιος, ‖ Ἑρμάϊος Νικῆος, Ἀργιλίας Λαονίκιος.

Foucart, Bull. Corr. Hell. III (1879) p. 153 sq. Meister, Bzb, Btr. V p. 205, Orch. 12. Larfeld, Syll. 11. — Titulus scriptus est a. 330, quo anno Alexander auxilia, quae Graecae civitates ei suppeditaverant, in patriam remisit.

---

292 Orchomeni.

Φιλοκώμω ἄρχοντος Βοιωτοῖς, Ἐρχομε[νί]οις δὲ Θιογνειτίδαο, πολεμαρχιόντων | Εὐχαρίδαο Δαματριχίω, Καφισιάδαο Πεδ|αχλείω, Φίλλιος Ποταμοδωρίω, γραμματίδ[δ]οντος τοῖς πολεμάρχοις Πολυρείτω Θιο|κουδείω, τοὶ πρᾶτον ἐστροτεύαθη· | Μνασίδικος Ἀθανοδώριος, Πουθίας Θιοδ|ότιος, Θρασύλαος Τιμασιθίω, Ἵππων Ἀθαν|οδώριος, Ἀπολλόδωρος Ὀλυμπίχιος, Κορειά‖δας Ξενώνιος, Εὔπομπος Καλλιγιτόνιος, Πο|ύθων Ἀμινοχλεῖος, Καλλικράτεις Ἀγασ|[ιῆ]ος, Πουθόδωρος Ὑρνιῆος, Τιμόλλει Θι|οδωρίχιος, Εὐρύλοχος Ϝαστίνιος, Πτω[ίω]ν Μνασιώνιος, Ἀμινίας Τιμώνιος, Ἁγείσα‖νδρος Φιλώνιος, Καφισόδωρος Λακράτε|ιος, Ἀριστοκλεῖς Ἀρίστωνος, Ἀριστομ|ένεις Φιλοκλεῖος, Δεύξιππος Ὀλυμπίχιος, | Διωνιούσιος Τελεσάρχιος, Καλλίας | Νικοκλεῖος, Μνασίνικος Ἀριστοδ‖άμιος, Ὀνάσιμος Βιόττω, Γλαῦκος Κα|ραιώνιος, Μνασιθάλεις Θιοπόμπιος, Σ|άθων Ὁμολωΐχιος, Εὐάγγελος Θιοτί|μω, Μενέδαμος Θιοτίμω, Ἕρμων Ἀθανιῆ|ος, Μνασίων Μνασιθίω, Δαμ[οτί]ων Σαμ[ί]‖χιος, Μύρτων Σομφόρω, Ν......|ιος, Καραΐχος Τιμάνδρι[ος], ...|ος ....ν ....κα....., [Φι]|λιππίδας Ξενο[τί]‖μιος, Ε....|.ολος Εὐφάμιος, Καλλίστρο[τος Καλλιστ]‖ρότιος, Ποταμόδι[κ]ος Προκλεῖος, Τέλ(λ)ε|ι Ἀσ[κλ]απιώνιος, Πάσων Πολουξένιος, Θιο|τέλεις Ἀθανοδώριος, Δαμάτριος Στρα‖[τώ]νιος, Ἀντίγων Ἱαρώνιος, Καλλίας Ἀρισ|[τ]οχλίδαο, Σω[φά]νεις Σωσ[τ]|ρατίδαο, Ιθυκρ[[ά]τεις Ἀρχικλίδαο, Ἀ[φ]ηστίων Λυκίνιο‖[ς], Χαρ[ών]δας Ἱαρώνιος, Μέδων Τιμώνιο[ς], | Διότιμος Θρασώνιος, Ἀθανίας Ἀνδρ[ών|ιος], Πρόκριτος Μειλιῆος, Κάλλιππος Ϝασάνδ[ρι|ος], Λάαρχος Τιμόλλιος, Ξένων Φιλετήρ[ιος], ‖ Ἀρίσταρχος Ἀσκλαπίχιος, Καφισίων Μυ[ρί|χ]ιος, Εὔμειλος Εὐκλίδαο, Ἀμευσίας Κεφώνιος, | Εὔμε(ι)λος Λαγέταο, Ἁγεισίνικος Ἀρ*ίστωνος, | [Ποτ]αμόδωρος

Εὐρυτίωνος, Κρατεύα[ς] Μνασιθ[ί]ω, Ἀντικράτεις Χηρώνδαο, Εὔθουμος Τελεσι[ῆ]ος, Ε[ὐ]φρονίσκος Καφισοδώριος, Φιλόξενος [Κ]εφωνίχ(ι)ος, Ἀθανάδας Ἀνδροτέλειος, Σωτεί[ριχος | Καφι]σοδώριος, Πουθόνικος Φιλοκράτειος, [Δ]ινόστροτος Πραξιώνιος, Κοροπίδας Δοκίμιο[ς], | Τελεσίας Ἀρίστωνος.

Keil Syll. i. B. (1847) p. 3 n. 2. Le Bas Voy. arch. II n. 626. Rangabé Ant. Hell. II (1855) n. 1304. Keil Zur Syll. i. B. (1863) n. 38[a]. Meister Bzb. Btr. V (1880) p. 203, Orch. 11. Larfeld Syll. 13. Editiones Lebasii et Rangabei non paucis locis inter se differunt, quorum plurimis Lebasiana maiore fide digna esse videtur quam altera. — De aetate huius tituli cf. ad n. 293.

4 **ΑΥΛΕΙΩ**. — 5 Πολυρείτω: non mutandum esse monet Meister coll. titulo Hyett. n. 305, ubi scriptum est Πολιούρειτος. — 6 **ΤΟΝ**. — 11 sq. **ΑΓΑΣ|·ΙΟΣ**. — 13 sq. **ΓΤΩ··|ΝΑΝΙΑΣΙΩΝΙΟΣ**; inde Πτω[ίω]ν Ἀν*αξιώνιος scripserat Keil. — 14 sq. Ἁγείσανδρος: spiritum asperum reposuit Meister propter n. 349, 11. — 24 **ΔΑΜΙ···ΩΝ**. — 28 **ΞΕΝΟ··ΑΙΟΣ** Le Bas; supplevit Meister. — 34 **ΣΩ·ΧΝΕΙΣ** Le Bas, **ΣΩ··ΝΕΙΣ** Rang. — **ΣΩ·ΓΑΣΙΔ·ΘΙΟΥΚΡ** Le Bas, **ΣΩΣFΑΣΙΔΑΟΙΘΥΚΡ** Rang. — 39 **ΔΔ** Rang., **ΛΑ** Le Bas. — 40 **ΔΥ**. — 41 **ΙΟΣ** Le Bas, **ΧΟΣ** Rang. — **ΕΥΚΛΕΙΔΑΟ** Le Bas. — 42—49 desunt apud Lebasium. — 42 **ΘΥΜΕΛΟΣΔΑΓ**. — **ΑΡΕΙΣ**. — 43 Εὐρυτίωνος: ita in lapide esse testatur Foucart Bull. Corr. Hell. IV p. 88. — In fine **ΜΙΜΝΙΣΟ**. — 46 **ΣΩΤΗ**. — 48 **ΔΟΧΙΑΛΙΟ**. — 49 **ΑΡΙΜΩΝΟΣ**.

---

293 Orchomeni, in eodem lapide in quo titulus n. 295.

Ὀνασίμω ἄρχοντος Βοιωτῦς, Ἐρχομενίυς | δὲ Πολυκράτιος Μυριχίω, πολεμαρ|χιόντων Φιλομείλω Φίλωνος, Καφισοδώ|ρω Διωνιουσίω, Ἀθανοδώρω Ἵππωνος, γραμ(μ)α[τί(δ)οντος τῦς πολεμάρχυς Δαϊκρατίδαο Ἀ|πολλωνίδαο, τυῒ πρᾶτον ἐστροτεύαθη· |

Ἀμφικτούων Δρωπούλω, Εὐκλεῖς Διωνιουσο|δώρω, Ἀριστοκλεῖς Καλ(λ)ιμέλιος, Ἀντιχαρίδα[ς] | Ξενίππω, Εὔπομπος Ἀρχέλαο, Ξενότιμος || [Σ]α[υμ]είλω, Πισίδικος Ἀρχέσωνος, Πουθίλλει | [?Εὐ]γίτονος, Καλλικράτεις Πουρεινίδα[ο], Ν[ικί]ων Γλαύκω, Διόδωρος Κλ[ιο]μνάσ|τω, Τελεσίας Χαρίμωνος, Δα–

μόφαν|τος Ἀσκλαπιάδαο, Κλιμαχίδας || Κλιμαχίδαο, Μελίτων Ὀφελε[ί]|μω, Π..... Τιμασίωνος, Νικάδας | Καφισίαο, Διωνούσιος Μνασίωνος, | Γερήνιχος Ἕρμωνος, Ἀρχέπολις Ὀφελείμω, Θεοδώριχος | Τίμωνος, Πασάρετος Ἐνπέδωνος, || Ϝελιξίων Διοκλεῖος, Ἀθανόδωρος | Ἀριστίωνος, Ἐπίξενος Κριτονίκω, | Τιμόσστροτος Νίκωνος, Δαμοχαρί|δας Μνασικλίδαο, Ξενοκλεῖς Ἐπιξέ|νω, Νικοτέλεις Λουσίαο, Νι(ο)υμείνιος || Πολιουξένω, Λίπαρος Ὀνασίμω, Κλέ|ων Ἁγεισάνδρω, Κλεάριστος Παρμενίσ|κω, Εὐθιουμίδας Διωνιουσίω, Νέανδρος | Ἀμινίαο, Κάπων Θιοδώρω, Νικόδαμος Σωσ[ι]|δάμω, Ἀνθεὺς Ἀντιφάνεος, Δάμων Ἀρισ||τοφάνιος, Ἀμινάδας Καφισίαο, Τιμοκράτει[ς] | Καλλικλίδαο, Ἀριστίων Λαμίππω, Φι|λιστίδας Ἀθανίαο, Ἀριστίων Διω|νιουσίω, * Ἀντικράτεις Ἀντικράτεος, | Ἀντιγένεις Παρμενίωνος, Ἀπολλό||δωρος Καφισοδώρω, Θέων Πουθίωνος, | Δαμάτριος Εὐβωλίδαο, Φιλόξενος Παν|τακλεῖος, Τιμόκριτος Ἀριστοτέλεος, | Κούνων Ἑρμαΐσκω, Εὐάγγελος Δάμωνος, | [Εὐ]κλείων Ἀμινοδώρω, || Ὁμολώϊχος Τίμωνος, Καλλίας Καλλικράτιος, | Θιογίτων Ἀθανίππω, Σαμίας Θίωνος, | Εἰρόδοτος Ἀρχίππω, Δαμάτριος | Ἀπολλοδώρω, Ἀρίσταρχος Φίλωνος.

Foucart, Bull. Corr. Hell. IV (1880) p. 77 sqq., *A.* Meister, Bzb. Btr. VI p. 57, Orch. 19ᵇ. Larfeld, Syll. 17. — De aetate huius catalogi et aliorum titulorum Orchomeniorum Foucart p. 83. 88 haec fere exposuit:

Ἄρχων Βοιωτοῖς sive ἄρχων ἐν κοινῷ Βοιωτῶν idem est qui in titulis Megaricis et Aegosthenicis vocatur ἄρχων ἐν Ὀγχηστῷ; nam Onchesti erat templum Neptuni omnibus Boeotis commune. Onasimus archon Boeotorum commemoratur in uno ex titulis Aegosthenicis (Le Bas II n. 4), idem in hoc Orchomenio; Aegosthena autem intra aa. 223—192 foederi Boeotico addicta fuerunt: huic igitur aetati et hic catalogus tribuendus est et duo alii (n. 294 et *C* apud Foucartium l. l. p. 83) et titulus Nicaretae (n. 295). Vetustior est catalogus Orchomenius, cui Philocomi archontis nomen praescriptum est (n. 292), qui propter usum οι diphthongi non in υ mutati et usum adiectivorum patronymicorum medii seculi tertii esse videtur. Duo catalogi, in quibus archontes Protomachus et Ctesias commemorantur (Le Bas II n. 624. 625), ipsi quoque intra aa. 223—192 scripti sunt, quia in altero polemarchi commemorantur, qui in titulo Nicaretae

vadum munere funguntur, alter scriptus est in eodem lapide atque pactio quaedam deposita apud Onasimum Theogitonis filium, vadem Nicaretae (Le Bas n. 627).

24 Νι(ο)υμείνιος: quod in lapide est, ιυ defendere conatus est Meister l. l.; cui refragatur Blass, Rhein. Mus. 36 (1881) p. 608. — 33 **N** litera deleta.

---

294 Orchomeni, in eodem lapide in quo titulus n. 295.

Ὀνασίμω ἄρχοντος | Βοιωτ (nihil evanuit in lapide). | Δαμοφίλω ἄρχοντ[ος] | Βοιωτοῖς, Ἐρχομενίοις [δὲ] || Σφοδρίαο Εὐρυτιμίδα[ο], | πολεμαρχιόντων | Κλιοξένω Πολουκρί|τω, Κωμίναο Τελεσι|ππίω, Μνάσωνος Μεκ||γήω, γραμματίδδ[ον]|τος τῦς πολεμάρχυς | Πολυκρίτω Φιλοκλειΐω, | τυΐ πρᾶτον ἐσστροτεύα|θη·

Καφισόδωρος Καλ||λίαο.
Φίδων Ἀθανοδώ|ρω,
Δαμοκράτεις Διωνου|σίω,
ϝαναξίων Ἀριστο|κλεῖος,
Πούθων Ἡράκων[ος], |
Σωκράτεις Διωνουσοδώ||ρω,
Ἀριστίων Ἀριστονίκω, |
Ἀνφίνικος Θιοβώλω, |
Μνάσων Ἀπολλοδώρω, |
Νικόστροτος Πολουκρά|τιος,
Νίκων Δωροθέω, ||
Καράϊχος Ἀπολλοδώρω, |
Καλλῖνος Ὀφελείμω, |
Καλλικλίδας Πολουξέν[ω], |
Ἀντιγένεις Παρμεν[ίω]|νος,
Κλίων Πουθίωνος, ||
Πτωίλλει Φηνομάχω, |
Νίκων Πολουχάρμω, |
Εὔμυρος Τέλλιος, |
Μέλανθος Διωνουσίω, |
Εὔθυμος Πουθανγέλω, ||
Ξένων Βητίδαο, |
Ὀνάσιμος Ἁγεισάνδρω, |
Θιότιμος Καλλιμάχω, |
Θιοδώριχος Θεοδώρω, |
Μύριχος Χηρίππω,
Εὐγί|των Χηρίππω,
Ἁγεισίλαος | Φιλίππω,
Λιόντιχος Λιον|τίχω,
Τίμων Σωσάνδρω, |
Μνασέας Πάτρωνος, |
Ἐπιχαρίδας Ἱαροκλεῖος, ||
Κλίων Πούθωνος, |
Διωνουσόδωρος Μνασι|λάω,
Ἀνδροκλεῖς Νικάν|δρω,
Δίων Διοδώρω, |
Εὔφαμος Ὀγχειστίωνος, ||
ϝικαδίων Δάμωνος, |
Τιμόλαος Κλιοξένω, |
Ποταμόδωρος Εὐρουτίωνος, |
ϝαστίας Κλιοξένω, |
ϝαστιούλλει Σάωνος, ||
Ἀρισστόλας Διωνου[σίω], |
Σαύμειλος Ἀπολλοδώρω, |
Φιλοκράτεις Παρμενί|ωνος,
Καλλῖνος Μνάσω|νος,

Σιμύρτιος Ἀθανία[ο], ||
Ἑρμάϊος Δεξίππω, |
.... [Διω]|νυσίω,
Καφισί|ων Σανδρίδα[ο], |
Ἱππίας Ἀγεισι||λάω,
Λουσῖνος Εὐ|θουμοκλεῖος, |
Διωνούσιος Καφισο|δώρω,
Πετρῆος | Μενεκράτιος, ||
Βουκάττει Ὀνασίμ[ω], |
Φιλωνίδας Καλλι|σθένιος,
Δαμοκ[λί]|δας Ῥίνκω,
Ἀρ[ίστων?] | Τίμωνος,
Φιλω[νίδα]ς Ἀριστοκλ[εῖος?].

Foucart, Bull. Corr. Hell. IV (1880) p. 79 sqq. *B.* Meister, Bzb. Btr. VI p. 58 sq., Orch. 19c. Larfeld, Syll. 18.

---

295 Orchomeni.

Τοὶ πολέμαρχοι τοὶ ἐπὶ Πολυκράτιος | ἄρχοντος, Φιλόμειλος Φίλωνος, | Καφισόδωρος Διωνυσίω, Ἀθανόδω|ρος Ἵππωνος, ἀνέγραψαν καθὼς || ἐποείσανθο τὰν ἀπόδοσιν τῶν δα|νείων τῶν Νικαρέτας κὰτ τὸ ψά|φισμα τῶ δάμω.

Ἀλαλκομενίω | ϝικαστῆ κὴ ἕκτη, ἐπεψάφιδδε | Φιλόμειλος Φίλωνος, Καφισόδωρος || Διωνουσίω ἔλεξε προβεβωλευμένον | εἶμεν αὐτῦ ποτὶ δᾶμον· ἐπιδεὶ ἐπεψα|φίττατο ὁ δᾶμος ἀποδόμεν Νικαρέτῃ | Θίωνος τὸν ταμίαν τὸν προάρχοντα | τὰν τρίταν πετράμεινον ἀπὸ [τ]ὰν ὑπε[ρ]||αμεριάων sic τᾶν ἰωσάων κὰτ τᾶς πόλιος, ὃ ἐ|πίθωσε αὐτὰν ἁ πόλις, ἀργουρίω δραχμὰς | μουρίας ὀκτακισχιλίας ὀκτακατίας τριά|κοντα τρῖς, κὴ τὼς πολεμάρχως ἀνελέσ|θη τάν τε σύγγραφον, sic ἃν ἔ[δω]καν ούπὲρ || [ο]ὕτων τῶν χρειμάτων κὰτ α[ὐ]τ[οσ]αυτῶ[ν] | κὴ ὁ ταμίας κὴ ὧν ποθείλετο Νικαρέτα δέκ[α], | κὴ τὰς ὑπεραμερίας διαγράψασθη [τὰς κὰτ] | τᾶς πόλιος τὰς ἐπὶ Ξενοκρίτω ἄρχοντος | ἐν Θεισπιῆς· κὴ οὕτα ϝεϝυχονομειόντων || τῶν πολεμάρχων κὴ τῶ ταμίαο ἀποδόν|τος τὰ χρείματα κὰτ τὸ ὁμόλογον τὸ πὰρ | Θιόφεστον Θιοδώρω Θεισπιεῖα τεθέν· | δεδόχθη τῦ δάμυ· τὼς πολεμάρχως, | ἐπί κα τὸ ψάφισμα κούριον γένειτη, ἀγγρά||ψη ἐν στάλαν λιθίναν τό τε ψάφισμα οὗτο | κὴ τὸ ούπὲρ τᾶς ἀποδόσιος, κὰ(τ) ταὐτὰ δὲ κὴ | τὰς ὑπεραμερίας τὰ(ς) κὰτ τᾶς πόλιος τὰς Ν[ι]||καρέτας κὴ τὸ [ὄν]ουμα τῶ γραμματεῖος τῶ δ[ι]|αγράψαντος αὐτὰς κὴ τὰν σύγγραφον τὰν || τεθεῖσαν πὰρ sic ϝιφιάδαν κὴ τὸ ἀντίγραφον κ[ὴ] | τὸ ἀντίγραφον τῶ ὁμολόγω

τῶ τεθέντος πὰρ Θιό[φεστον κὴ τὰν διαγραφὰν τῶν χρειμάτων ὧν [παρ]|έγραψαν αὐτῆ διὰ τραπέδδας, κὴ τὸ ἄλωμα | ἀπολογίτταστη ποτὶ κατόπ[τας], πόρον δ' εἶμε[ν] || ἀπὸ τῶν πολιτικῶν.

Δαματρίω νιουμεινίη | πετράτῃ, ἐπεψάφ[ιδδ]ε [Καφι]σόδωρος Δι[ω]|νουσίω, Ἀθανόδωρος [Ἵππωνος ἔ]λεξε προβε|[β]ωλε[υμ]ένον εἶ[μεν] αὐτ[ῦ] ποτὶ δᾶμον· ἐπιδεὶ | παργενομένας Νικαρέτας Θίωνος Θεισπικᾶ[ς || κ]ὴ πραττώσας τὸ δάνειον τὰν πόλιν κὰτ τὰς οὐπε[ρ]|αμερίας τὰς ἰώσας αὐτῆ [ἀνά]γκασ[θε]ν τὺ πολέμαρ|χυ κὴ ὁ ταμίας σουγχωρείσαντος τῶ δάμω δόμεν | [τ]ὰ πά[ντα] κὰτ τὰν σούγγραφον, [ὁ]πόττη οὐπάρχωση οὐπε[ρ]|αμερίῃ ἔ[ντί, τ]ᾶν κα ἐνενιχθεῖ ἁ ἀνφορὰ ἐν οὗτο, κ[ὴ] || κομίττ[η] τὰ συνχωρειθέντα χρείματα· | δεδόχθη sic τῦ δάμυ· τὸν ταμί[αν τὸν προά]ρχοντα | [τὰν] τρί[ταν] πε[τρ]άμεινον [ἀποδόμε]ν πεδὰ τῶ[ν] | πολεμάρχων Νικαρέτῃ ἀργυρίω δραχμὰς μυρίας | [ὀκ]ταχισχιλίας ὀκταχατ[ίας τρ]ιάκ[ο]ντα τρῖς Πολυ||κράτιος ἄρχο[ν]τος ἐν τῦ Δαματρίυ μεινί, κὴ τὰς ἐ[σ]|πράξις τὰς ἰώσας Νικα[ρέτῃ κὰτ] τᾶς πόλιος Ξεν[ο]||κρίτω ἄρχοντος ἐν Θεισπιῆς πάσας διαλιάνασ[θη] | τὼς πολεμάρχως, κὴ τὰν σουγγραφὰν ἂν ἔχι κὰτ [τῶν] | πολεμάρχων κὴ τῶ ταμίαο ἀνελέσθη· πόρον [δ' εἶ]|μεν ἐν οὗτο ἀπὸ τῶν τᾶς [π]όλιος ποθοδωμάτων πάντ[ων]. |

[γοντον οἱ περί]δρομοι καὶ οἱ δικάσκοποι, μηδὲ ἄ[λλ]α ἄρχα μηδέϊα. [Ἐπιμέλεσθαι δὲ] τοὶς στροτάγοις καὶ τοὶς β[ασίλη]ας καὶ τοὶς πε[ριδρόμοις καὶ το]ὶς δικασκόποις καὶ ταὶς [ἄλλ]αις ἄρχαις, αἴ κε [φυλάσσηται πάν]τα ὡς ἐν τῷ ψ[αφίσματι ἐγράφη], καὶ κατάγρεντον [τὸν μὴ φυλάσσοντα ἢ μὴ ποίεντά τι τῶν ἐγγεγρα]μμένων, ὤς κε μῆδ[εν διάφορον εἴη τοῖς κατεληλυθόντεσσι] πρὸς τοὶς ἐν τᾷ πόλι π[ρόσθε ἔοντας, ἀλλὰ εἶεν τὰ πάντα διαλε]λύμενοι πάντες πρὸς ἀλλ[άλοις, οἰκήσειαν δὲ τὰμ πόλιν ἀτρέσ]τως καὶ ἐμμένοιεν ἐν τᾷ ἀ[ναγεγραμμένᾳ διαλλάγᾳ καὶ τᾷ]ι διαλύσι τᾷ ἐν τούτῳ τῷ ψα[φίσματι γραφείσᾳ. Καὶ ἔλεσθ]αι τὸν δᾶμον ἄνδρας εἴκοσι, δέκα [μὲν ἐκ τῶν κατελθόντων δέκα] δὲ ἐκ τῶν ἐν τᾷ πόλι πρόσθε ἐόντων. [Οὗτοι δὲ ἐς δύναμιν φυλάσσ]οντον καὶ ἐπιμέλεσθον, ὡς μῆδεν ἔσ[σεται διάφορον τοῖς κατε]λθόντεσσι καὶ τοῖς ἐν τᾷ πόλι πρόσθ[ε ἐόντεσσι. Πράξοισι δὲ] καὶ περὶ τῶν ἀμφισβατημένων κτημάτων [πρός τε κατέλθοντας κ]αὶ πρὸς τοὶς ἐν τᾷ πόλι ἔοντας καὶ πρόσθ[ε, ὡς οὗτοι μάλιστα μ]ὲν διαλυθήσονται· αἰ δὲ μή, ἔσσονται ὡς δικ[ά][σται. Ὄππως δὲ ἐν ταῖ]ς διαλυσίεσσι, ταὶς ὀ βασίλευς ἐπεκρίννετ[ο, καὶ ἐν τᾷ διαλλάγ]ᾳ ἐμμενέοισι πάντες καὶ οἰκήσοισι τὰμ πό[λιν ἀτρέστως καὶ ὀμο]νόεντες πρὸς ἀλλάλοις, καὶ περὶ χρημάτων [πάντων, ἐκ τῶν κε ὠφέλη]ται ἀ διάλυσις ὡς πλεῖστα, καὶ περὶ ὄρκω[ν, ὄττινάς κε συμφέρην ἄγ]ωνται, περὶ τούτων πάντων, ὄσσα κε ὀμο[λογήσωσι πρὸς ἀλλάλο]ις, οἱ ἀγρέθεντες ἄνδρες φέροντον ἐπὶ τ[ὸν δᾶμον· ὀ δὲ δᾶμος ἀκο]ύσαις, αἴ κε ἄγηται συμφέρην, βολλευέτω [πότερον δόκη κυρώθην τὰ] ὀμολογήμενα πρὸς ἀλλάλοις συμφέρον[τα. Λέγην δὲ ἐξέστω τοῖς κατ]ελθόντεσσι ἐπὶ Σμιθίνα προτάνιος [περὶ πάντων ὄσσα νῦν ἐψαφί]σθη· αἰ δέ κέ τι ἐνδεύη τῶ ψαφίσματος [τούτω, λεγέσθω περὶ τούτω ἐ]ν τᾷ βόλλᾳ. Κυρώθεντος δὲ τῶ ψαφίσ[ματος τούτω τᾷ ἐκκλησίᾳ] τὸν δᾶμον ἐν τᾷ εἰκόστᾳ τῶ μῆννος [εὔξασθαι ἶρα ἀπάντεσσι] τοῖς θέοισι, ἐπὶ σωτηρίᾳ καὶ εὐδαιμ[ονίᾳ καὶ τύχᾳ τᾶς πόλιος] γένεσθαι τὰν διάλυσιν τοῖς κατελ[θόντεσσι καὶ τοῖς πρόσθε] ἐν τᾷ πόλι ἐόντεσσι· το[ὶς δ]ὲ ἴρηάς τ[ε καὶ ἰροποίοις πάντας καὶ] ταὶς ἰρείαις θείγην τοὶς ναύοις, [π][ρὶν δᾶμον πρὸς εὔχαν συνέλ]θην. Τὰ δὲ ἶρα, τὰ ὀ δᾶμος εὔξατο ὄτε ἐ[πεψαφίσθη πρεσβεία ἀ πρὸς] τὸν βασίλη, ἀπυδόμεν[α]ι τοῖς βασί[λ][ηος γενεθλίοισι κὰτ ἐνίαυ]τον· παρέμμεναι δὲ τᾷ θυσίᾳ καὶ [το][ὶς ὑπὸ τῶ δάμω ἀγρέθεντας ἀγ]γέλοις τοὶς πρὸς τὸν βασίλη [πεμφ][θησομένοις ἀπὺ τῶν πρόσθε] ἐν τᾷ πόλι ἐόντων καὶ τοὶς ἀ[πὺ τῶν] [κατελθόντων. Τὸ δὲ ψάφισμα τ]οῦτο ἀναγράψαντας τοὶς ....

. . . .

Huius tituli fragmentum *b* (vv. 6 sqq.) edidit Boeckh CIG. 2166 cum Add. Fragmentum *a* (vv. 1—15) edidit Conze, Reise auf Lesbos, tab. 8, 2; repetiit et illustravit et cum *b* coniungendum esse docuit Blass, Herm. 13 (1878) p. 384 sqq. Totum titulum denuo edidit Bechtel, Bzb. Btr. V (1880) p. 109 sqq. n. 2. — Est decretum Mytilenaeorum factum a. 324, quo anno Alexander iusserat omnes exules in civitates Graecas redire. Supplementa tituli στοιχηδὸν scripti maximam partem sunt Boeckhii et Blassii, nonnulla Bechtel correxit; alia ipse nova tentavi, quae nequaquam certa esse non ignoro.

4 [μεταλα]ζέσθω: cf. Hdt. IV 45 (?). — 15 ΤΔΩΣ. — 25 [πράξοισι]: supplevit Bechtel. — 25. 26 [πρ|ὸς τοὶς] suppl. Boeckh, Bechtel; sed ita versus 25 spatium excederet. — 26. 27 προσθ[ή|σοισιν] Boeckh, προσθ[ή|σονται] Bechtel; sed ita hic quoque versus nimis longus fieret, neque προστιθέναι aut προστίθεσθαι sententiae satis aptum est. — 29 init. suppl. Bechtel. — 35 init. suppl. Bechtel. — 36 Σμιθίνα: nomen eiusdem stirpis, Σμίθων, ex titulo Melio (n. 135, 7) affert Bechtel, Bzb. Btr. VI p. 119. — 43 θείγην: apographorum, quibus Boeckhius usus est, unum habet ΟΕΙΣΗΙ, alterum ΟΕΙΓΝΙ, duo reliqua ΟΕΙΓΕΝ; inde effici videtur θείγην, i. q. θειοῦν. Cf. θέαγον Salaminiorum Cypriorum apud Hesychium. Inconstantiae vocalium in verbis derivatis exempla collegit Meister Dial. I p. 180. — 44 Apographorum unum habet ΛΥΣΑΤΟΟ, alterum ΑΥΕΑΤΟΟΣ, tertium ···ΑΤΟΟΤ, quartum (Kieperti) ··ΞΑΤΟΟΤΕΕ; inde quod in fine Boeckhius fecit et Bechtelius recepit, ὡς [σπ|ούδαν ἀπυφάνωμεν τὰν περὶ], probari vix potest. Expectabatur sane ὄτα, ut n. 429 *A* 33; sed in eodem hoc titulo non semel legitur πρόσθε pro πρόσθα, ex lingua volgari receptum. — 47 init. suppl. Bechtel. — 48 fin. Α exstat in Kieperti apographo.

---

429 [= 121] Lapis repertus ante multos annos in insula τῶν νῦν Μοσχοννησίων in aedificanda ecclesia St. Triadis.

A

. . . .
. . . . [βασίλευ]ς Ἀλέξανδρο[ς] | . . . . [χ]ώρας
τᾷ πόλι κα[ὶ] | . . . . [ὄτα δὲ] Ἀλέξανδρος διάλ|[λαξε
τὸμ πὰρ ἀνθρώπ]ων βίον, Φίλιππος δὲ || [ὁ Φιλίππω καὶ]

Ἀλέξανδρος ὁ Ἀλεξάνδρω τ[ὰ]μ βασιλεί]αν παρέλαβον, Θέρσιππος ἔων | [τοῖς βασ]ιλήεσσι φίλος καὶ τοῖς στροτ[[άγοισι] καὶ τοῖς ἄλλοισι Μακεδόνεσσι, μ[[εγάλ]ων ἀγάθων αἴτιος γέγονε τᾷ πόλι· Ἀ[[ντιπ]άτρω γὰρ ἐπιτάξαντος χρήματα εἰς | τὸμ πόλεμον εἰσφέρην, πάντων τῶν ἄλλω[ν εἰσφερόντων Θέρσιππος παραγενόμενο[ς πρὸς τοὶς βασίληας καὶ Ἀντίπατρον ἐκο[[ύφ]ισσε τὰμ πόλιν· ἔπραξε δὲ καὶ πρὸς Κλε[[ῖτον περὶ] τᾶς εἰς Κύπρον στρατείας καὶ ἔ[ργα μεγάλα]ς δαπάνας εἰς μίκρον συνάγαγε· [ἐγένετ]ο δὲ καὶ περὶ τὰν σιτοδείαν ἄνη[ρ ἄγαθος] καὶ πὰρ τῶν σαδράπαν εἰσαγώγα[[ν συγκα]τεσκεύασσε· ἔδωκε δὲ καὶ τᾷ πόλ[[ι χρήματ]α εἰς σωτηρίαν καὶ τόκοις ἐλάσ[[σους ἄτ]ησε τῶγ κατεσταχόντων· ἐ[β]αθόη | [δὲ χρημ]άτεσσι καὶ τοῖς πολίταισι εἰς [δ]ύναμι]ν· καὶ Πολυπέρχοντος εἰς τὰν Ἀσ[ία]ν ἔλθον]τος διῴκησε φίλον αὖτον τᾷ π[[όλι ὑπάρ]χην· παρεσκεύασσε δὲ καὶ [Ἀρ]ράβα[[ιον καὶ] τοὶς ἄλλοις τ[οὶ]ς ἐπ[ί] τινων τετα[[γμένο]ις ὑπὸ τῶν βασιλήων φίλοις τᾷ π[[όλι· καὶ] τἆλλα πράσσει μετ' εὐνοίας πρὸς | [τὸν δᾶ]μον πάντα· — Δέδοσθαι αὖτω ἀτέλε[ια[ν πάντω]ν τὸμ πάντα χρόνον καὶ αὖτω κα[ὶ ἐ]κγόν]οισι· στᾶσαι δὲ αὖτω καὶ εἴκονα χ[αλ]κίαν]· δέδοσθαι δὲ καὶ σίτησιν ἐμ προταν[η]ίῳ· κα]ὶ ὄτα κε ἀ πόλις ἰροπόηται, μέρις δ[ι]δό]σθω Θερσίππω καὶ τῶν ἐκγόνων ἄϊ τῷ γ[ε[[ραι]τάτωι· κάλησθαι δὲ καὶ εἰς προεδρίαν· | [στε]φανώτω δὲ αὖτον ὁ χοροστάτας ἄϊ ὁ ἐν[έ]ων] ἐν τῷ ἄγωνι καὶ ὀγκαρυσσέτω ἀνδραγ[α]θί]ας ἔνεκα καὶ εὐνοίας τᾶς πρὸς τὸν δᾶ[[μον], ἴνα γινώσκωσι πάντες, ὄτι ὁ δᾶμος [ὁ || Να]σιώταν τοὶς ἀγάθοις ἄνδρας [καὶ] εὐε[ρ]γέτ]αις τ[ίμαι] καὶ σώθεντος αὖτω ἐστεφ[α]να]φόρησεν [ἀμ]έραις τρ[ῖ]ς κα[ὶ] εὐαγγέλι[α] | καὶ σωτήρια ἔ[θ]υσε καὶ παν[άγυρ]ιν συνά[γαγε δαμοτέ[λ]ην καὶ νῦν τ[ίμαι] δικάως. Ἀ[[νάγραψαι δὲ τοὶς ταμίαις τοὶς μετ' Ἡρα[κλείτω τὸ ψάφισμα εἰς στάλλαν λιθίνα[ν] | τῷ ἐκ Θέρμας λίθω καὶ στᾶσαι, ὄππα κε Θε[ρ]σίππω συναρέσκη μέχρι Πορνοπίας· ἐξέ[σ]]τω δὲ Θερσι[ππ]ω καὶ ἄλλα ὄππα κε θέλη τῶν || [ἴ]ρων στᾶσα[ι] τὸ ψάφισμα καὶ κέ τι θέλη π[ρ]οσγράφην, ἔμμεναι αὖτω, τῶγ κεν [ε]ὐεργέ[τη τὰμ πόλιν.

B

... πα ...... | [ἄν]δρε ἀ πό[λις | δικ]άσταις .. | ...αες ὀ ἄρ[χω][ν θύ]ην δέδ[οσθ]αι] ἰρήϊα.... | .εονεαι.... | .ταεεφιτ

10 ... | .σ...ινα... || .... | .... |
15 .... | .... | ....π.. || ...νιεντα
.. | .λλ........ | .... | .χ..εων π... |
20 .. αρχα εο... || ..δᾶμος ἐ... | ...δατειο.. | .[ἐγ] κυρία
25 ἐκ[[κ]λ[ησί]α ταὶς δω[ρ[έαι]ς παίσα[ις || ταὶ]ς δεδομέ[ν]α]ις Θερ-
30 σίππ[ω | ὐ]πὸ τῶ [δ]άμω κ[α]ὶ] ἐκγόνοισι δ|[ιαμέ]νην εἰς τ|[ὸμ
π]άντα χρόν|[ον], καθάπερ ὁ δ[ᾶμο]ς ἔδωκε κα|[ὶ μὴ] ἔμμεναι
35 [π]ὰρ τ]αῦτα μήτε || [ἄρ]χοντι προθ|[έ]μεναι μήτε ῥ|[ή]τορι εἶπαι
40 μ|[ή]τε ἐπιμηνί[ω | ἐ]σένικαι· αἰ δ|[έ] κέ τις ἢ ῥήτω|[ρ] εἴπη
45 ἢ ἄρχων | [ἐσ]αγάγη ἢ καὶ | [ἐπ]ιμήν[ι]ος ἐσ|[ενίκ]η, ἄκυρα τ|[ε
ἔ]στω, καὶ ὀφε|[λλ]έτω ἕκαστο|[ς στάτη]ρας τρ|[ιακ]οσίοις ἴρ|[οις
50 τ]ῶ Ἀσ[κ]λαπ|[ίω, κα]ὶ ἐπάρατ|[ος ἔ]στω καὶ ἄτι|[μος] καὶ γέ-
55 νος | [ε]ἰς τὸμ πάντα | [χρ]όνον καὶ ἔν[ο]χος] ἔστω τῶ νόμ|[ω
π]ερὶ τῶ καλλ|[ύοντ]ος τὸν δᾶ|[μον. Τὰ δ'] ἐψαφί|[σμενα προσ]-
60 ανά|[γρ]αψαι τοὶς ἐ|[ξε]τάσταις εἰ|[ς τ]αὶς στάλλαι|[ις ταὶς] περὶ
65 [τ]ᾶν δωρέαν· τὸ δ[ὲ] ἀνάλωμα | [δόμεναι]......

Huius tituli 16 primos versus Boeckh edidit CIG. Add. 2166 *c* secundum apographum, quod in Ἰονίῳ Ἀνθολογίᾳ fasc. I p. 134 repererat; ibi autem neque versus recte divisi sunt et falso adnotatum est lapidem Mytilenis repertum esse. Accuratius omnia, quae in eo exstant, edidit Georgius Earinus in libello, qui inscribitur Μουσεῖον καὶ βιβλιοθήκη τῆς εὐαγγελικῆς σχολῆς, Περίοδος β', ἔτος α', ἐν Σμύρνῃ, 1876, p. 128 sqq. Is lapidem descripserat in ecclesia St. Triadis prope Νῆσον oppidum, quod in insula τῶν νῦν Μοσχοννησίων situm est. Titulum repetiit Bechtel, Bzb. Btr. V p. 152 sqq. n. 56, cuius emendationes complures recepi. — Insula, in qua repertus est, a veteribus vel Πορδοσελήνη vel simpliciter Νῆσος appellabatur. Fuit in ea colonia Aeolum Asianorum (v. Herodot. I, 151); itaque Nesiotae (ita enim cives eius dictos esse tituli supra scripti *A* 40 docet et confirmant nummi ΝΑΣΙ literis inscripti, de quibus cf. H. Droysen, Zeitschr. f. Num. V p. 122) dialecto Lesbiaca utebantur. Decretum in honorem Thersippi factum est inter annos 319 a. Chr., quo Antipater mortuus est, et 317, quo Philippus Arrhidaeus interfectus est. Et hoc et nonnulla alia, quae ad argumentum huius inscriptionis intellegendum pertinent, Earinus l. l. exposuit.

Titulus videtur στοιχηδὸν scriptus esse. — *A* 17 sq. supplevit Blass, Rhein. Mus. 36 p. 609. — 21 ΑΟΘΗ, correxit

Kirchhoff, cf. ad n. 430 *A*, 27. — 23 Πολυπέρχοντος: apparet immerito viros doctos, in his Ellendtium ad Arrian. II, 12, hanc formam, quae etiam in codicibus passim reperitur, damnavisse. — 25 supplevit Bechtel. — 31 sq. χ[αλ]κίαν]: Bechtel p. 154; cf. Meister Dial. I 91 sq. — 35 ΤΑΤΩΓ. — 39 γινώσκωσι: cf. πρήξοσι in titulo Chio n. 496 *A*, 17. 20. — 42 τρ[ί]ς: an τρ[ῆ]ς? sed τρῖς exstat in titulo Mytilenaeo, Bull. Corr. Hell. IV p. 427 n. 6; cf. Meister Dial. I, 72. 98. — *B* 5 [θύ]ην: Bechtel. — 33—39 ita fere restituit Dittenberger, Jen. Lit.-Ztg. 1877 p. 569. — 34 [π]ὰρ τ]αῦτα: Blass, Rhein. Mus. 36, 609. — 36 ΣΙΕΝΑΙ. — 39 [ἐ]σένικαι: cf. Bechtel p. 156. Blass l. l. — 54 sq. ΕΜ|··ΕΣΤΩ, inde ἐν[[εχ]έσθω Bechtel; cf. n. 430 *A*, 24. An licet agnoscere ἐν[εχ]έστω? quod fecit Fuehrer, Über d. lesb. Dialekt (Progr. Arnsberg 1881) p. 11. — 56 sq. καλλ[ύοντ]ος: suppl. Bechtel.

---

430 [= 123] Eresi, *A C D* in ecclesia Ἁγίας Εἰρήνης, *B* ad puteum monasterii στὸν Χριστόν.

A

.....................[πολ]λ[ι]ορκήθε[ντας] ..... ἐν τ[ᾶ] πόλι πωνοινομο . . σε καὶ το[ὶς πολ]-[ίται]ς δισμυρίοις στάτηρας εἰσέπραξ[ε καὶ] [τοὶ]ς Ἕλλανας ἐλαΐζε[το] καὶ τοὶς βώμοις [κατέ]-[σκ]αψε τῶ Δίος τῶ Φιλ[ι]ππί[ω] καὶ πόλεμον ἐξε[νι]-[κ]άμενος πρὸς Ἀλέξανδρον καὶ τοὶς Ἕλλανας τοὶς μὲν πολίταις παρελόμενος τὰ ὅπλα ἐξε-κλάϊσε ἐκ τᾶς πόλιος [πα]νδάμι, ταὶς δὲ γύνα[ι]-κας καὶ ταὶς θυγάτερας συ[λλά]βων καὶ ἔρξα[ις] ἐν τᾶ ἀκροπόλι τρισχιλ[ί]οις καὶ διακοσίο[ις] στάτηρας εἰσέπραξε, τὰν δὲ πόλιν καὶ τὰ ἶρ[α] διαρπάξαις μετὰ τ[ῶ]ν [λα]ΐσταν ἐνέπρησε κα[ὶ] σ[υγ]κατέκαυσε σώματα [τῶν] πολίταν, καὶ τὸ τ[ε]-λεύταιον ἀφικόμενος πρὸς Ἀλέξανδρον κατ[ε]-ψεύδετο καὶ διέβαλλε τοὶς πολίταις· κρίν[ν]α[ι] [μ]ὲν αὔτον κρύπτᾳ ψάφ[ι]γγι ὀμόσσαντας περ[ὶ] [θ]ανάτω· αἰ δέ κε καταψ[αφ]ίσθῃ θάνατος, ἀντιτ[ι]-μασαμ[έ]νω Ἀγωνίππω τὰν δευτέραν διαφόραν ποήσασθαι, τίνα τ[ρόπο]ν δεύει αὔτον ἀποθά-νην. Αἰ δέ κε κα[λ]λάφθε[ν]τος Ἀγωνίππω τᾶ δίκα

κατάγη τίς τινα τῶν ᾿Αγωνίππω ἤ εἴπη ἤ πρόθη περὶ καθόδω ἤ τῶν κτημάτων ἀποδόσιος, κατ[ά][ρα]τον ἔμμεναι καὶ αὖτον καὶ γένος τὸ κήνω, [κ]α[ὶ] τἆλλα ἔ[ν]οχος [ἔ]στω τῶ νόμω [τῶ] τὰν στάλλαν ἀνέλοντι τὰν περὶ τῶν τυράννων καὶ τῶν ἐκγ[ό][ν]ων. Ποήσασθαι δὲ καὶ ἐπάραν ἐν τᾶ ἐκ(κ)λησία α[ὔ][τ]ικα τῶ μὲν δικάζοντι καὶ βα[θ]όεντι τᾶ πόλε[ι] [κ]ὰτ τὰ δίκαια εὖ ἔμμεναι, τοῖς δὲ παρὰ τὸ δίκα[ι][ο]ν τὰν ψᾶφον φερόντεσσι τὰ ἐνάντια τούτων. ᾿Εδικάσθη· ὀκτωκόσιοι ὀγδοήκοντα τρεῖς· ἀπ[ὸ] [τ]αύταν ἀπέλυσαν ἔπτα, αἱ δὲ ἄλλαι κατεδίκα[σ]σαν.

[῎Ε]γνω δ[ᾶμο]ς· περὶ ὦν οἱ πρέσβεες ἀπαγγέλλοισ[ι] οἱ πρὸς ᾿Αλέξανδρον ἀποστάλεντες καὶ ᾿Αλέξανδρος τὰν διαγράφαν ἀπέπεμψε, ἀφικομένων πρὸς αὖτον τῶν πρότερον τυράννων ἀπογ[ό]νων, ῾Ηρωΐδα τε τῶ Τερτικωνείω τῶ ῾Ηραείω κα[ὶ ᾿Α]γησιμένε[ο]ς τῶ ᾿Ερμησιλείω, καὶ ἐπαγγελλα[μέ][ν]ων πρὸς ᾿Αλέξανδρον, ὅτι ἔτοιμοί ἐσσι δίκ[αν] ὑποσ[χ]έθην π[ερ]ὶ τῶν ἐγκαλημένων ἐν τῶ δά[μω]· [ἀγάθα τύχα δ]έ[δοχ]θ[αι] τῶ δάμω· ἐπειδ[ὴ].....

B

...πλετατα.... ἐξεκλάϊσ[ε] ἐ[κ] τᾶ[ς πό][λι]ος πανδάμι, ταὶ[ς] [δ]ὲ γύναικας καὶ τ[αὶς θ][υ]γάτερας συλ[λάβων] [ἦ]ρξε εἰς τὰν [ἀκρόπο][λ]ιν καὶ εἰσέ[πρ]α[ξε] δισχιλίοις καὶ δι[α]κοσίοις στάτηρας· τὰ[ν] δὲ πόλιν καὶ τὰ ἶρα [δι][αρ]πάξαις μετὰ τῶν [λ]αίσταν ἐνέπρησε [κ]αὶ συγκατέκαυσε [σ]ώματα τῶν πολίτ[αν]· [κ]ρίνναι μὲν αὖτον [κ]ρύπτα ψά[φ]ιγγ[ι] [κ]ὰ(τ) τὰν διαγράφαν τ[ῶ] [β]ασιλέως ᾿Αλεξάνδ[ρω] [κ]αὶ τοὶς νόμοις· [αἰ δέ] [κε] καταψαφίσθη [κα][ὶ] α[ὔ]τω θάνατος, ἀ[ντι][τι]μασαμέν[ω Εὐρυσι][λά]ω τὰν δευτέραν [κρί][σ]ιν ποήσασθα[ι] διὰ [χ]ειροτονίας, τίνα [τ]ρόπον δεύει αὖτον [ἀ][π]οθάνην. Λάβεσθαι δ[ὲ] [κ]αὶ συναγόροις τὰ[ν] πόλιν δέκα, οἴτινε[ς] [ὀ]μόσσαντες ᾿Από[λλω][ν]α Λύκειον ο[ὔ]τω συνα][γ]ορήσοισι [τᾶ πόλε][ι, ὦς] κε δύνα[τον]....

C

. . . .[τῶ μὲν δι]-
[κάζο]ντι καὶ βαθόεν-
[τι τᾶ] πόλει κὰτ τοὶς
[νόμο]ις ἢ τὰ δίκαια εὖ
[ἔμμε]ναι καὶ αὔτοισ[ι]
[καὶ] ἐκγόνοισι, τῶ δὲ
[πα]ρὰ τοὶς νόμοις κα[ὶ]
τὰ δίκαια δικαζόν-
τεσσι τὰ ἐνάντια. Ὄ-
μνυν δὲ τοὶς πολί[ταις]
τοὶς δικάζοντας· [ἦ]
[μ]ὰν δικάσσω τὰν [δίκαν]
[ὄ]σσα μὲν ἐν τοῖς [νό]-
[μ]οισι ἔνι, κὰτ τοί[ς νό]-
[μο]ις, τὰ δὲ ἄλλα ἐθ[ε]-
[λ]όντας ὡς ἄριστα [καὶ]
[δ]ικαίτατα, καὶ τιμά-
[σ]ω, αἴ κε κατάγνω, ὄρθω[ς]
[κ]αὶ δι(καί)ως· οὔτω ποήσω
ναὶ μὰ Δία καὶ Ἄλιον.
Φιλίππω·
»Αἰ μὲν κατὰ τῶν φυγά-
δων κρίσεις αἰ κριθε[ῖ]-
σαι ὑπὸ Ἀλεξάνδρου
κύριαι ἔστωσαν, καὶ
[ὧ]ν κατέγνω φυγήν, φε[υ]-
[γ]έτωσαμ μέν, ἀγώγιμο[ι]
δὲ μὴ ἔστωσαν.« —
Πρότανις Μελίδωρο[ς].
»Βασιλεὺς Ἀντίγονος
Ἐρεσίων τῇ βουλῇ
καὶ τῷ δήμῳ χαίρειν.
Παρεγένοντο πρὸς ἡ-
μᾶς οἱ παρ' ὑμῶν πρέ[σ]-
[β]εις καὶ διελέγοντ[ο],
φάμενοι τὸν δῆμον
κομισάμενον τὴν παρ' [ἡ]-
μῶν ἐπιστολήν, ἣν ἐγρ[ά]-
[ψ]αμεν ὑπὲρ τῶν Ἀγωνίπ-
[π]ου υἱῶν, ψήφισμά τε π[ο]-
[ή]σ]ασθαι, ὃ ἀνέγνωσα[ν]
[ἡμῖ]ν, καὶ αὐτοὺς ἀπε-
. . . . .ασ. . .

D

. εν . . . . . . η . λι . . . . ιτη . , . .
. . . . νλιλι . . . . ν Ἀλεξαν[δρ] . . .
. . . . ἔρρωσ[θε] .« . . .
. . . . [ἀ βόλλα πρ]οεβόλλε[υσε] . .
. . . . . τεδ . . . . λνλ . γσοιχ . . .
. η . . . . ντ . . . . κατ[ὰ] τῶν τυρ[άν]-
νων [καὶ τῶν ἐ]μ πό[λει οἰκη]θέντων καὶ τῶν ἐκγ[ό]-
[νων] . . . . ι καὶ ταὶς γραφαι[σ]
. . ε . . . . τὰν ἐκ(κ)λησίαν. Ἐπειδὴ καὶ [πρό]-
[τερον] ὁ βασίλευς Ἀλέξανδρος διαγράφαν ἀπο[σ]-
[τέ]λλαις π[ροσέτ]αξε [Ἐρε]σίοις κρίν(ν)αι ὑπέρ τε
[Ἀγω]νίππ[ω κ]αὶ [Εὐρυσιλά]ω, τί [δ]εῖ πά[θ]ην αὔτοις, [ὀ]
[δὲ δᾶμος ἀκο]ύ[σ]αις τὰν διαγράφαν δικαστήριο-
[ν καλ]έσ(σ)α[ι]ς κατὰ τοὶς νόμοις, ὃ ἔκριν[ν]ε Ἀγώνι[π]-

[πο]μ μὲν καὶ Εὐρυσί[λαο]ν τε[θν]άκην, τοὶς δὲ ἀπογ[ό][νοις δόκη]ν ἐνόχοι[ς ἔμμε]ναι τῷ νόμῳ τῷ ἐν τᾷ [σ]τάλλα τά [τ]ε ὑπάρχο[ντα] πέπρασ[θ]αι αὔτων κατὰ [τ]ὸν νόμον· ἐπιστέλλ[αντος] δὲ Ἀλεξάνδρω καὶ ὑπὲρ τῶν ἀπο[λ]λ[οδ]ωρε[ίων] καὶ τῶν κασιγνήτων [αὔ][τ]ω Ἕρμωνος καὶ Ἡραίω, τῶμ πρότερον τυραννησάντων τᾶς πόλιος, καὶ τῶν ἀπογόνων αὔτων, [κρί]ν[ν]αι τὸν δᾶμον, πότερο[ν] δόκ]ει καταπορεύεσθ[αι] αὔτοις ἢ μή· [ὁ δ]ὲ δᾶμος ἀκούσαις τὰν διαγράφα[ν] δικαστή[ρ]ι[ό]ν τε αὔτοισι συνάγαγε κατὰ τὸν [νό][μο]ν καὶ τὰν διαγράφαν τῶ βασιλέως Ἀλεξάνδρ[ω], [ὃ ἔ]γνω λό[γ]ων ῥηθέντων παρ' ἀμφοτέρων τόν τε ν[ό][μο]ν τὸν κατὰ τῶν τυράννων κύριον ἔμμεναι κα[ὶ] [φ]εύγην αὔτοις κὰτ .. μπ .... δέδοχθαι τῷ δάμ[ω]· [κ]ύριομ μὲν ἔμμεναι κατὰ [τῶν] τυράννων καὶ τῶ[ν] [ἐ]μ πόλι οἰκηθέντων καὶ τῶν ἀπογόνων τῶν το[ύ][τ]ων τόν τε νόμον τὸμ περὶ [τ]ῶν τυράννων γεγρά[μ][μ]ενον ἐν τᾷ στάλλα [τ]ᾷ [παλαί]α καὶ ταὶς διαγρά[φ]αις τῶν βασιλέων ταὶς κατὰ τούτων καὶ τὰ ψα[φ]ίσματα τὰ πρότερον γράφεντα ὑπὸ τῶν προγ[ό][ν]ων καὶ ταὶς ψαφοφορ[ί]αις ταὶς κατὰ τῶν τυράννων· [αἰ] [δ]έ κέ τις παρὰ ταῦτα ἀλίσκηται τῶν τυράννω[ν] τῶν ἐμ πόλι οἰκηθέντων ἢ τῶν ἀπογόνων τῶν [τού][τ]ων τις ἐπιβαίνων ἐπὶ τὰν γᾶν τὰν Ἐρεσίων, [κα][λ]λύων δ[ᾶμον], βολλεύσασθαι καὶ π......... .. λλι ....

Titulus inscriptus fuit tribus lateribus tabulae marmoreae nunc diffractae, *B* et *C* uni lateri angustiori, *A* et *D* duobus latioribus. *B* ex apographo Kieperti ediderat Boeckh CIG. Add. 2166 *b*. Totum titulum descripsit et ab H. Sauppio multis locis emendatum addita tabula lithographa edidit Conze, Reise auf der Insel Lesbos, 1865, p. 35 sqq. et tab. 12. Eundem repetiit et copiosius illustravit Sauppe, Commentatio de duabus inscriptionibus Lesbiacis, Gottingae 1871. Denuo edidit Bechtel, Bzb. Btr. V p. 138 sqq. n. 42. Justum ordinem fragmentorum restituit Kirchhoff, ex cuius recensione hic titulus editus est apud Droysenum, Geschichte der Diadochen, II (1878) p. 363 sqq. Emendationes complures feliciter invenit Wald in dissertatione

quae inscribitur: Additamenta ad dialectum et Lesbiorum et Thessalorum cognoscendam, Berolini 1871. De rebus, ad quas spectat decretum Eresiorum, egit Windel, De oratione quae est inter Demosthenicas decima septima, Progr. Lipsiae 1882. — Ad emendandum maximam difficultatem habet fragmentum *B*, cuius duo apographa ita inter se discrepant, ut aliis locis Kiepert, aliis Conze (p. 29) plura agnovisse et correctiora descripsisse putandus sit.

Philippo in Macedonia regnante Eresi tyranni rerum potiti sunt, quorum nomina commemorantur Hermon, Heraeus, Apollodorus (*D* 19 sq. cf. *A* 36 sq.), quos tres fratres fuisse Kirchhoffii coniectura usus exposuit Droysen l. l. 372. Eos Eresii Philippo adiuvante expulerunt, de qua re decretum (*D* 33 sq.) factum et ara Jovi Philippio (*A* 4 sq.) erecta est. Postea Agonippus et Eurysilaus una (*D* 12. 15) imperium obtinuerunt et Eresios coegerunt pactionem secum inire (στάλλαν περὶ τῶν τυράννων *A* 24 sq.). Jam cum Philippo mortuo Alexander in Asia bellum gereret, tyranni Persas adiuvare coeperunt, praesidium ab Alexandro Eresi collocatum obsederunt (*A* 1), cives quoquo modo vexaverunt. Sed ab Hegelocho Macedonum duce superati et capti et Alexandriam ad regem abducti sunt (*A* 14; cf. Arrian. III, 2, 5. 7). Rex captivos Eresum misit, ut cives de eis iudicium ferrent. Uterque capitis damnatus est. Postea tyrannorum Philippi aetate expulsorum posteri, Heroidas Heraei nepos et Agesimenes Hermesilae filius Hermonis nepos (*A* 36 sq.), per Alexandrum ab Eresiis impetrare studuerunt, ut in patriam redirent; sed venia eis a populo non data est (*D* 27 sq.). Alexandro vero mortuo Philippus (Arrhidaeus), qui ei successerat, acta eius de tyrannis Eresiorum eorumque posteris rata esse iussit (*C* 21—28). Neque Antigonus Unoculus, qui aa. 306—301 regnavit, epistula ad Eresios data (*C* 30—*D* 3) efficere potuit, ut lex de exilio tyrannorum et posterorum eorum mutaretur; immo vero novo decreto populi (*D* 28) sancta est et tum maxime omnia, quae ad hanc rem pertinerent, lapidi inscripta sunt.

Titulus στοιχηδὸν scriptus est, nisi quod nonnulli versus a fine singulis vel binis literis ceteros superant. Conzius eum luce maligna descripsit; itaque literae inter se similes passim mutatae sunt. — *A*, 5 sq. ἐξε[νι]κ]άμενος: cf. Blass, Rhein. Mus. 36 p. 609. — 15 χρίν[ν]αι: cf. Fuehrer, Über d. lesb. Dial. (1881)

p. 21 et Meister Dial. I, 138. — 16 ψάφ[ι]γγι: hic et *B*, 16 agnovit Wald p. 25. — 26 sq. **Α.|.ΙΤΑ**, inde α[ὔ|τ]ικα restituit Kirchhoff. — 27 **ΡΛ·ΟΕΝΤΙ**, inde βα[θ]όεντι Wald p. 28; cf. *C*, 2. — 28 **·ΑΙΤΑ**; cf. *C*, 3 sq. — 32 **ΞΑΝ**, sed prima litera incerta; cf. Wald p. 14. — 33 [ἜΕ]γνω δ[ᾶμο]ς: Fick apud Bechtelium p. 141. — 38 **ΗΣΙΔΕΙ**, correxit Sauppe; Ἑρμησιδείω defendit Meister Dial. I p. 197. An Ἑρμησιλ(α)είω? — 39 **ΕΣΤΙ**, inde ἔντι Sauppe; cf. Meister, Dial. I p. 171; ἔσσι, de quo v. infra p. 285, restituit Allen. — 41 [ἀγάθα τύχα]: suppl. Bechtel.

B, 1 ······**ΑΕΤΩΤΑΣ**·· Conze. — 4 **Σ** Kiepert. — 8 in fine **ΔΙ** Kiepert. — 9 **ΣΓΑΑΤΗΡΑΙΣ** Kiepert. — 10 **ΙΙΑ**. — 11 **ΓΑΣΑΙΣ**; cf. *A* 12. — 12 **ΓΟ** Kiepert. — 16 **Τ··ΙΓΓ·** Kiepert **·Λ·ΙΓΓ·** Conze; cf. *A* 16. — 22 sq. [Εὐρυσι|λά]ω: supplevit Windel p. 24. — 27 **ΛΑΚ**, inde λάζεσθαι Kirchhoff; cf. n. 428, 4. — 29 **ΟΣΤΗΝ** Kiepert, **Ο·ΤΛΝΕ** Conze; inde οἵ τινε[ς] Sauppe, ὄττινε[ς] Bechtel. An scribendum οἵ τάνε, ut in titulo Larissaeo n. 409, 15. 20. 23?

C, 1 vestigia literarum incerta. — 3 **ΚΑΙ**. — 4 **ΙΣΙΤΑ**; cf. *A* 28. An scribendum est [νόμο]ις (κα)ὶ τὰ δίκαια? — 6. 8 τῶ — δικαζόντεσσι: soloecismus notandus est. — 15 sq. **ΕΝ·|·ΟΝΙΑΣ**, correxit Kirchhoff.

D, 11. 21 sq. κρίν(ν)αι: cf. ad *A* 15. — 12 πά[θ]ην: restituit Wald p. 18. — 13 init. supplevit Bechtel. — 15 Εὐρυσ[λαο]ν: de forma nominis cf. Bechtel p. 145. — 19 **ΓΛΙ**. — In fine [αὔ|τ]ω supplevit Kirchhoff. — 23 **ΤΑΣ**. — 25 βασιλέως: paenultima litera incerta; cf. *B* 18 et Wald p. 24. — 26 **Ω**. — 28 καὶ [τὰ]μ π[όλιν] Sauppe, καὶ [ἐκ]γό[νοις] Wald p. 30, κὰτ [τὸ]ν ν[όμον] Kirchhoff. Fortasse κὰτ [τἄ]μπ[αλιν]? — 32 [παλαί]α: supplevit Kirchhoff. — 35 **Ν**, inde ψαφοφόραις Sauppe, Bechtel. — 38 sq. [κα|λ]λύων: cf. n. 429 *B* 56 sq.

---

431 Pila marmorea Erythris reperta et inde Viennam translata.

Ἔγνω δᾶμος περὶ ὦν ἀ βόλλα προεβόλλευσε καὶ Πολυδεύκης Μέ|γωνος ὀ τετάγμενος στράταγος ἐπὶ πάντων καὶ Αἰσχύλης ὀ Θεμιστίω | ὀ ἀντιγράφευς ἐπὶ τὸν δᾶμον ἦλθον, περὶ τῶ δάμω τῶ * Ἐρυθραίων, ὤς | κε ἐπαινεθείη καὶ στεφανωθείη ἐν τοῖς Διονυσίοισ(ι) χρυσίῳ στε||φάνῳ, καὶ περὶ τῶν δικάσταν Ἐκαταίω Δημητρίω, Διοδότω Κλε|ονυμείω, ὤς κε ἐπαινέθειεν

καὶ στεφανώθειεν ἐν τοῖς Διονυ|σίοισι χρυσίω στεφάνῳ καὶ ὥς κε ξενίσθειεν ἐν τῷ πρυτ[α]|νείῳ, καὶ περὶ προξενίας καὶ πολιτέας, ἴνα ποιήσωνται οἱ | στράταγοι ἔφοδον ὐπὲρ αὔτων ἐν τοῖς χρόνοις τοῖς ἐκ τῶ νό||μω, καὶ περὶ τῶ γραμμάτεος αὔτων Θεοπόμπω Ἀπολλοδότω, | ὥς κε ἐπαινεθείη καὶ στεφανωθείη ἐν τοῖς Διονυσίοισι χρυ|σίω στεφάνῳ καὶ ξενισθείη ἐν τῷ πρυτανη(ί)ω, (καὶ) περὶ τῶ δι|κασταγώγω Ἀγεμάχω Ἀγ*ελ(α)είω, ὤς κε ἐπαινεθείη | καὶ στεφανωθείη ἐν τοῖς Διονυσίοισι χρυσίω στεφάνω κα[ὶ] || εἰς τὸ πρυτανήιον κληθείη μετὰ τῶν δικάσταν· ἀγάθᾳ τύ|χᾳ δέδοχθαι τῷ δάμῳ· ἐπειδὴ Ἐρύθραιοι συγγένεις καὶ | φίλοι ἔοντες τᾶς πόλιος θέλοντες ἀπόδειξιν ποιήσασθαι | τᾶς εὐνοίας ἂς ἔχοισι πρὸς τὸν δᾶμον, ἔν τε τοῖς ἄλλοις | τοῖς συμφερόντεσσι τᾶ πόλει προνόηνται, καθό κε δύνα||τοι ἔωσι, καὶ περὶ τῶ μεταπέμπτω δικαστηρίω* ἐμβλ[έ]|ποντες εἰς τὰν σπούδαν, ἂμ ποίη ὀ δᾶμος, ἐφιλοτιμή|θησαν καὶ ἀπέστελλαν δικάσταις κάλοις καὶ ἀγά|θοις, οἵ τε παραγενόμενοι τὰν προσήκοισαν πρόνοιαν | ἐποιήσαντο περὶ τὰν δίκαν καὶ ἐφρόντισαν, ἴνα οἱ μὲν συλ||λύθωσι τὰ πρὸς ἀλλάλοις οἱ δὲ διακρινόμενοι τύχωσι | τῶν δικαίων, τάν τε παρεπιδαμίαν ἐποιήσαντο ἀρμο|ζόντως· ὅπως οὖν καὶ ὀ δᾶμος φάνερος ᾖ εὐχαρίστως | συνάνταις ἐκάστοισι καὶ μνᾶν ποιήμενος τῶν τε ἐξαπο|[σ]τελλάντων καὶ τῶν δικάσταν τῶν ἐπιμελέως καὶ δικα[ί]|ως προστάντων τᾶν δίκαν καὶ ἀξίως τῶν τε ἀποστελλάν|των καὶ τᾶς τῶ δάμω ἀγρέσιος, ἐπαίνησαι τὸν δᾶμον τὸν | Ἐρυθραίων ἐπὶ τᾷ εὐνοίᾳ ᾇ ἔχει πρὸς τὰμ πόλιν καὶ ἐπὶ τῷ ἀπό|στελλαι δικάσταις κάλοις καὶ ἀγάθοις καὶ στεφάνωσαι ἐν τοῖς | Διονυσίοισι χρυσίω στεφάνω, ἐπαίνεσαι δὲ καὶ τοὶς δικάσταις Ἑκά||ταιον καὶ Διόδοτον ἐπὶ τῶ πρόσταν τῶν κὰτ ταὶς δίκαις ἴσως | καὶ δικαίως καὶ στεφάνωσαι ἐν τοῖς Διονυσίοισι χρυσίω στεφάνω, | εἰσαγήσασθαι δὲ περὶ αὔτων ἐν τοῖς χρόνοις τοῖς ἐκ τῶ νόμω | καὶ τοὶς στρατάγοις, ὅπως ὐπάρξῃ αὔτοισι προξενία καὶ πολιτέ,α, ἐπαίνεσαι δὲ καὶ τὸγ γραμμάτεα Θεόπομπον ἐπὶ τῷ πραγματε[ύ]||θην ἄϊ φιλοτίμως καὶ ἀξίως ἀμφοτέρων τᾶμ πολίων καὶ στεφά|νωσαι αὔτον ἐν τοῖς Διονυσίοισι χρυσίω στεφάνω, ἐπαίνεσαι δὲ κα[ὶ] | τὸν δικαστάγωγον Ἀγέμαχον ἐπὶ τῷ φιλοτίμως ἐπιδόμεναι | ἔαυτον καὶ πρόσταν τῶν κὰτ τοὶς δικάσταις, ἴνα ἔκαστα διεξα|χθέωσι δικαίως καὶ συμφερόντως, καὶ στεφάνωσαι ἐν τοῖς Δ[ιονυ]||σίοισι χρυσίω στεφάνω· τᾶς

δὲ ἀναγγελίας τῶν στεφάνω[ν ὄπως γέ]|νηται, ἐπιμελήθην το!ς βασίλεας καὶ πρυτάνεις, κάλεσαι δὲ ἐπ[ὶ ξένια] | τοὶς δικάσταις καὶ τὸγ γραμμάτεα ἐς τὸ πρυτανήιον ἐπὶ τὰγ κοίναν ἐστ[ί]|αν, κάλεσαι δὲ μετ' αὔτων εἰς τὸ πρυτανήιον καὶ τὸν δικαστάγωγον· | χειροτόνησαι δὲ καὶ πρεσβεύταν ἐκ πάντων τῶμ πολίταν, τὸν δὲ ἀγρέ||θεντα τό τε ψάφισμα ἀνένεγκαι πρὸς Ἐρυθραίοις καὶ ἐμφανίσαντα* | περὶ τᾶς εὐνοίας, ἄς ἔχει ὀ δᾶμος πρὸς αὔτοις καὶ τὰ ᾠκονομήμενα | ὐπὸ τῶν δικάσταν, παρακάλην αὔτοις ἐπίμελες ποιήσασθαι, ὄπως ο[ἵ]| τε στέφανοι ἀναγορευθέωσι καὶ πὰρ ἐαύτοις καὶ τὸ ἀντίγραφον τῶ ψα|φίσματος ἀναγράφη ἐς στάλλαν καὶ ἀνατέθη ὡς ἐν ἐπιφανεστάτω τό||πω, καὶ ἐμφανίζην, ὄττι ταῦτα ποιήσαντες χαρίσσονται τῷ δάμω. | Πρεσβεύτας Πυθοφάης Ἰερογένειος.

intra coronam:	intra coronam:	intra coronam:
τὸν δῆμον	Ἑκαταῖον	Διόδοτον
τὸν Ἐρυθραίων.	Δημητρίου.	Κλεονύμου.
intra coronam:		intra coronam:
Θεύπομπον		Ἀγέμαχον
Ἀπολλοδότου.		Ἀγελάου.

Edidit Kenner, Sitz.-Ber. Acad. in Wien, phil.-hist., 71 (1872) p. 335 sqq. Repetiit et nonnulla emendavit Bechtel, Bzb. Btr. V p. 112 sqq. n. 3. — Polydeuces Megonis filius, qui v. 1 στράταγος ἐπὶ πάντων dicitur, idem fuisse videtur, qui CIG. 2265 *b* commemoratur, Mytilenaeus. Itaque hoc decretum Mytilenas rettulit Kenner, de qua re ei assensus est Blass, Herm. 13 p. 386. Aetas fere eadem est atque tituli CIG. 2265 *b*, quem anno 167 non multo superiorem esse demonstravit Boeckh l. l.

Titulus non στοιχηδὸν scriptus est a lapicida Ionico satis neglegenter; nam Ionica nonnulla dialecto Lesbiacae immiscuit: Διονυσίοις 4, αἰρέσιος 31, τούς 46, ψη|φίσματος 53 sq. Alia prorsus falsa scripsit: τῷ 4, Ἀγγελείω 13, στεφανωθειεν 14, ἐμφανίσαντας 50; nisi forte haec et similia apographo et ectypo debentur, quibus Kenner et Bechtel usi sunt. Certe necesse fuit in hoc titulo non paucis locis literas traditas corrigi.

2. 9. 38 στράταγος: non mutandum est, sed vestigium irrepentis sermonis Graecorum volgaris; cf. Hinrichs, Hom. eluc. vestig. Aeol. (1875) p. 67. — 3 ΤΩΙ. — 7 ΩΣΤΕ: corr. Fuehrer, Über d. lesb. Dial. (Arnsberg 1881) p. 16. — 7 sq. πρυ-

τ[α]|νείῳ: ita in sermone volgari; Lesbiorum est πρυτανήϊον v. 15 47. 48. — 8 **ΠΟΛΙΤΤΑΣ**: inde πολιτείας Bechtel, πολιτέας Meister, Dial. I p. 11. 90; cf. v. 38. — 13 **ΑΓΓΕΛΕΙΩ**: inde Ἀγελείω Bechtel coll. v. 60. — 14 **ΣΤΕΦΑΝΩΘΕΙΕΝ**. — 20 **ΔΙΚΑΣΤΗΡΙΩΙ**. — 25 **ΑΛΛΗΛΟΙΣ**. — 28 μνᾶν: cf. n. 183, 47. Meister, Dial. I p. 97 μνάν scribi vult. — 31 ἐπαίνησαι: explicant Bechtel l. l. p. 158 et Meister, Dial. I p. 180. Cf. n. 432, 17. — 39 sq. πραγματε[υ]|θῆναι, quod scripserunt Kenner et Bechtel, ferri posse non nego inter tot exempla depravatae dialecti. — 46 **ΤΟΥΣ**. — in fine ἐπ[ὶ δεῖπνον] supplevit Blass Herm. 13 p. 386; praetuli ξένια brevius vocabulum spatio magis accommodatum. χάλεσαι δὲ ἐπ[ὶ] | τοὶς δικάσταις quid significet, se intellegere affirmat Bechtel. — 47 **ΕΠ**: inde ἐπ(ί) Bechtel; ἐς sententiae aptius est. — 50 **ΕΜΦΑΝΙΣΑΝΤΑΣ**. — 53 fin. **ΥΗ**.

---

432 Lapis repertus Erythris, nunc in antiquario Monacensi.

[Ἔδοξε τᾶ βόλλα καὶ τῶ δάμω] . . . . . ς εἶπεν·
[Ὡς ξενί]α καὶ φιλαν[θρωπία ἄϊ ἦν] τᾶ πόλε(ι) τᾶ Τενε-
[δίων πρὸς] τὸν δᾶ[μον τὸν Ἐρυθραίω]ν καὶ ἀποσ-
[τέλλαν]τος τῶ δ[άμω πρεσβεύτα]ν πρὸς Ἐρυθραί-
[οις, ὠ]ς ἀξιάσει αὔτο[ις καὶ] παρκάλει φίλοις ἔοντας
[τῶ δά]μω τῶν Τενεδ[ί]ων ἀπόστελλαι δικάσ-
[ταν εἰ]ς Τένεδον, ὁ δᾶμος Ἐρυθραίων πόλ-
[λαν πρ]όνοιαν ποείμενος [τ]ᾶς πόλιος ἀπέστε[λ]-
[λε δικά]σταν Διόδοτον [Κλεο]νύμω ἄνδρα κά-
[λον καὶ] ἄγαθον, ὄστις παραγενόμενος εἰς τὰ[μ]
[πόλιν ἐ]δίκασε ταὶς δίκαις πάντεσσι ἴσως
[καὶ δικ]αίως, καὶ ὁ δᾶμος ἐψαφίσατο τίμασα[ι]
[τὰμ πό]λιν τὰν Ἐρυθραίων τίμαις ταῖς κὰτ το[ὶ]- sic
[ς νόμοις]· δέδοχθαι τᾶ βόλλα καὶ τῷ δάμῳ· ἐ[πε]-
[ιδὴ ὠφέ]ληται ὁ δᾶμος ὁ Τενεδίων διὰ τη . . . . .
. . . . . . υον τὰ ἑαύτῳ φιλάνθρωπα προ . . . .
[δᾶμος τῶ]ν Ἐρυθραίων, ἐπαίνησαι τὸν [δᾶμον τὸν]
[Ἐρυθραίων] ἀρέτας ἔνεκα καὶ εὐνοίας . . . . . .

Christ, Ber. bayr. Acad. 1866, I p. 252 sqq. Bechtel, Bzb. Btr. V p. 157 sq. n. 57. Titulus non στοιχηδὸν scriptus eiusdem videtur esse aetatis atque decretum Mytilenaeorum n. 431.

5 ἀξιάσει: cf. n. 434, 33 et Meister Dial. I 180. — 17 ἐπαίνησαι: cf. n. 431, 31.

---

433 Prope Methymnam.

Βασιλεύοντος Πτολεμαίω τῶ | Πτολεμαίω καὶ Βερενίκας θέων | Εὐεργέταν, ἀγάθα τύχα, ἐπὶ πρυτάνιος | Ἀρχία, ἔδοξε τῶ κοίνω τῶν Πρωτέων· || ἐπειδὴ Πραξίκλης Φιλίνω δείχθεις | χελληστυάρχας τὰν παῖσαν ἐπι|μέλειαν ἐποιήσατο, ὄπως κε τοῖς θ[έ]|οισι τοῖς πατρωΐοισι αἰ θύσιαι συ[ν]|τελέσθειεν καὶ ἀ χέλληστυς || ἐν παίσα γίνηται ἐπιμελεία, κ[αὶ] | εἰς ταῦτα πάντα ἐκ τῶν ἰδίων ἐχο|ράγησε ἀξίως τῶν θέων καὶ τᾶς | χελλήστυος, ἀγάθα τύχα ἐψάφισθαι· | ἐπεί κε συντελέη ἀ χέλληστυς || τοῖς θέοισι τὰ ἶρα, δίδων αὔτω καὶ | ἐκγόνοισι [διμοιρία]ν καὶ σάρκα πεντά|μναιον ἀπ[ὺ τῶ β]όος τῶ θυομένω τῶ | Δὶ τῶ Σώ[τηρι], ἔως κε ζώωσι, καὶ ἀνα|χαρύσσην αὔτοις, ὄτι ἀ χέλληστυς || στεφάνοι Πραξίκλην Φιλίνω καὶ ἐκγό|νοις διμοιρία καὶ σάρκι βοεία πεντα|[μ]ναίω συντελέσσαντα τὰ ἶρα τοῖς | θέοισι κὰτ τὸν νόμον καὶ τᾶς χελ|λήστυος ἐπιμελήθεντα ἀξίως || ....ν τοῖς Πτολε|[μαίοις]....

E. Pottier et Am. Hauvette-Besnault, Bull. Corr. Hell. IV (1880) p. 433 sqq. n. 21. Repetiit Bechtel, Bzb. Btr. VII (1882) p. 265 sq. Meth. 14. — Ptolemaeus est Ptolemaeus IV Philopator filius Ptolemaei III Euergetae et Berenices filiae Magae regis Cyrenaicae. Ergo titulus scriptus est inter aa. 222 et 205 a. Chr.

---

434 [= 128] Marmor repertum Lampsaci in pariete domus.

vv. 1—5 prorsus incerti.

[δέ]δοχθαι τῶ δάμω· ἐπειδὴ τῶ δ[άμω ψαφισσα|μέ]νω διχάσταν μεταπέμψασθαι [ἐγ Λαμψά|κω Λ]αμψάκανοι ἔοντες ἄμμι συγγέ[νεες καὶ εὔ|νοο]ι τὰμ πᾶσαν ἐπιμέλειαγ καὶ σπούδ[αν ποι|ή|μ]ενοι ἀπέστελλαν ἄνδρα κάλογ κἄγα[θον | Δαμ]οκρέοντα Ζήνωνος, ὃς καὶ παραγενόμεν[ος ται|ς] δίκαις ἐδίκασσε, ταὶ[ς] δὲ καὶ διέλυσε ἴσως κ[αὶ δι|καί]ως καὶ κὰτ τοὶς νόμοις, ἐποιήσατο δὲ καὶ τὰν [ἐπι|δα]μίαγ καὶ καθ' ὂγ καῖρον ἐδίκαζε καὶ ἀφέθεις εὐκόσμ[ως κ||αὶ] ἀξίως ἀμφοτέραν τὰμ πο-

λίων· ἐπαίνεσσαι μὲν τ[ὸν] | δᾶμον τὸν Λαμψακάνωγ καὶ στεφάνωσαι ἐν τῷ ἄγωνι | τῶν Ἡρακλείων ἀναγγέλλοντος τῶ χάρυκος, ὄττι ὁ δᾶμ|ος στεφάνοι τὸν δᾶμον τὸν Λαμψακάνων, ἀποστέλλ|αντα δικάσταγ κάλογ κἄγαθον, ἀρέτας ἔνεκα καὶ εὐ||νοίας τᾶς εἰς ἔαυτογ χρυσέω στεφάνω τῶ ἐννό||[μ]ω· ἐπαίνεσσαι δὲ καὶ τὸν δικάσταγ καὶ στεφάνωσαι ἐν | τῷ ἄγωνι τῶν Ἡρακλείων ἀναγγέλλοντος τῶ χάρυκος, ὄτ|τι ὁ δᾶμος στεφάνοι τὸν ἀποστάλεντα δικάσταν ἐγ Λαμψ|άκω Δαμοκρέοντα Ζήνωνος, δικάσσαντα ταὶς δί[[κ]αις ὄρθως καὶ δικαίως καὶ κὰτ τοὶς νόμοις, ἀρέτας | [ἔ]νεκα καὶ εὐνοίας τὰς εἰς ἔαυτον στεφάνω χρυσέω | [τῶ ἐν]νόμω. Τᾶς δὲ ἀναγγε*λίας τῶν στεφάνων [ἐπ|ιμ]έλειαμ ποιήσασθαι τοὶ(ς) στρατάγοις. Ὑπάρχειν δ[ὲ τῶ | δ]ικάστα καὶ προξενίαμ παρὰ τᾶ πόλει καὶ ἔφοδον [ἐπ||ὶ τ]ὰμ βόλλαγ καὶ δᾶμομ μετὰ τὸγ χρηματισμον | [τ]ὸμ περὶ τῶν ἴρων. Δεῖξαι δὲ καὶ πρέσβεια ἐν τᾶ ἐκ|κλησία, ὄστις παραγενόμενος πρὸς Λαμψακάνοις [τό | τ]ε ψάφισμα ἀποδώσει καὶ ἀξιάσει ποιήσασθαι τὰ[ν ἀ|ν]αγγελίαν τῶν στεφάνωγ καὶ παρ' ἐαύτοις ἐν το[ῖς || Δι]ονυσίοις, καὶ ἵνα ἀναγράφη τὸ ψάφισμα τοῦτο [εἰς | σ]τάλαν λεύκω λίθω sic καὶ ἀνατέθη ἐν τῶ ἐπιφ[ανεσ|τά]τω τόπω· χειροτόνησαι δὲ ἐν τᾶ ἐκκλη[σία ἐφό|δι]ον τῶ πρεσβεύτα ποσσαν......... ... | χειροτόνηθεν................||νος προσω.......

CIG. 3640. Bechtel, Bzb. Btr. V p. 162 sq. n. 64. Decretum est civitatis alicuius Aeolicae, fortasse Cumaeorum, in honorem Lampsacenorum factum, quod seculo ab Alexandro Magno primo vix inferius esse putat Boeckh.

6 ΤΩΝ. — 15 fin. ΥΓΝΤ. — 16. 22 ἄγωνι: errore lapicidae Lampsaceni pro Aeolico ἀγώνῳ scriptum esse putat Hinrichs, Hom. eloc. vestig. Aeol. p. 101. Sed cf. τοῖς ἀγώνεσσιν n. 437, 30. — 18 ΤΟΜ. — 27 ΑΝΑΓΓΕΛΙΑΙΑΣ. — 31 πρέσβεια: cf. Meister, Dial. I 85. — 33 ἀξιάσει: cf. n. 432, 5.

435 [= 125] Ex Lesbiacis, nunc Mytilenis in bibliotheca scholae.

Θέος. Τύχα ἀγάθ[α]. | Ὄ κε θέλη θύην ἐπὶ τῶ βώμ[ω] | τᾶς Ἀφροδίτας τᾶς Πεί|θως καὶ τῶ Ἕρμα, θυέτω | ἰρήιον ὄττι κε θέλη καὶ | ἔρσεν καὶ θῆλυ π[λὰν] ὔ[ος] | καὶ ὄρνιθα [ὄ]ττι[νά κε θέλη].

Keil, Philol. Suppl. II p. 579. Conze, Reise auf Lesb. tab. 4, 3. Titulum supplevit de Wilamowitz, Zeitschr. f. d. Gymn.-W. 1877 p. 647. Repetiit Bechtel, Bzb. Btr. V p. 149 n. 49, qui recte monet formas literarum aetate Romana antiquiores esse.

---

436 [= 124] Mytilenis in vestibulo domus privatae.

Ὁ δᾶμος | τὸν ἑαύτω σώτηρα καὶ κτίσταν | Γναῖον Πομπήϊον Γναίω υἷον | Μέγαν, τρὶς αὐτοκράτορα, κατα||λύσαντα τοὶς κατάσχοντας | τὰν οἰκημέναν πολέμοις καὶ | κατὰ γᾶν καὶ κατὰ θάλασσαν. |

Δωρόθεος Ἡγησάνδρου | Ὀλύνθιος ἐπόησε.

Edidit Keil, Philol. Suppl. II, p. 576 sqq., denuo Conze, Reise auf Lesbos tab. VIII n. 1, coll. p. 13. Repetiit Bechtel, Bzb. Btr. V p. 120 n. 6. — Titulus scriptus est a. 62 a. Chr.

---

437 [= 127] Lapis in parietinis Cymes repertus, nunc Parisiis in aedibus bibliothecae.

....................[δαμ]οσίαι[ς? | ....ταὶς ὑπαρχοί]σαις αὔτω κτή||σιας ἐν τῷ Ζμαραγήω]......η τούτοισι τῷ δά[μω] | ....ονια πασσυδιάσαντος καὶ || [μεγαλο]πρεπεσ[τά]ταις τείμαις δογματίζοντος καὶ ναῦ|ο(ν) ἐν τῷ γυμ(ν)ασίω κατείρων προαγρημμένω, ἐν ὧ ταὶς τεί|μαις αὔτω κατιδρύσει, κτίσταν τε καὶ εὐεργέταν προσονυ|μάσδεσθαι εἰκονάς τε χρυσίαις ὀντέθην, καθὰ τοῖς τὰ μέ|γιστα τὸν δᾶμον εὐεργετησάντεσσι νόμιμόν ἐστι, με||τά τε τὰν ἐξ ἀνθρώπων αὔτω μετάστασιν καὶ τὰν ἐν|τάφαν καὶ θέσιν τῶ σώματος ἐν τῷ γυμνασίω γενήθην, | ἀποδεξάμενος ὑπερθύμως τὰν κρίσιν τᾶς πόλιος Λα|βέων, στοίχεις τοῖς προυπαργμένοισι αὔτω καὶ προσμέ|τρεις τὰν ἑαύτω τύχαν τοῖς ἐφίκτοισιν ἀνθρώπω, τὰν || μὲν ὑπερβάρεα καὶ θέοισι καὶ τοῖς ἰσσοθέοισι ἀρμόζοι|σαν τᾶς τε τῶ ναύω κατειρώσιος τᾶς τε τῶ κτίστα | προσονυμασίας τείμαν παρητήσατο, ἀρκέην νομί|ζων τὰν χρί- (sic) σιν τῶ πλάθεος καὶ τὰν εὔνοαν ἐπιτεθε|ωρήκην, ταὶς δὲ τοῖς ἀγάθοισι τῶν ἄνδρων πρεποί||σαις ἀσμενιζοῖσα χάρα συνεπένευσε τείμαις· ἐφ' οἶσιν πρεπωδέστατόν ἐστι τῶν ἐννόμων ἐόντων | χρόνων τὰν παντέλεα τῶν εἰς ἀμοίβαν ἀνηκόντων | ἐπαίνων τε καὶ τειμίων περὶ τᾶς καλοκἀγαθίας αὔτω |

μαρτυρίαν ἀπυδέδοσθαι· δι᾽ ἃ καὶ τύχα ἀγάθα δέδοχθαι || τᾶ βόλλα καὶ τῶ δάμω· Ἐπαίνην Λαβέωνα παίσας ἔοντα τεί|μας ἄξιον καὶ διὰ τὰν λοίπαν μὲν περὶ τὸν βίον σεμνότατα | καὶ διὰ τὰν φιλοδοξίαν δὲ καὶ τὰν μεγαλοδάπανον εἰς | τὰν πόλιν διάθεσιν, καὶ ἔχην ἐν τᾶ καλλίστα διαλάμψει τε καὶ | ἀπυδόχα καὶ κάλην εἰς προεδρίαν καὶ στεφάνων ἐν πάν||τεσσι τοῖς ἀγώνεσσιν, οἷς κεν ἀ πόλις συντελέη, ἐν τᾶ τᾶν | κατεύχαν ἀμέρα ἐπὶ τᾶν σπόνδαν κὰτ τάδε· ὁ δᾶμος στε|φάνοι Λεύκιον Οὐάκκιον Λευκίω υἶον Αἰμιλία Λαβέωνα φι|λοκύμαιον εὐεργέταν στεφάνω χρυσίω ἀρέτας ἔνεκα | καὶ φιλαγαθίας τᾶς εἰς ἔαυτον. Ὀντέθην δὲ αὔτω καὶ εἰ||κονας, γράπταν τε ἐν ὅπλω ἐνχρύσω καὶ χαλκίαν, κὰτ τὰ αὔ|τα δὲ καὶ μαρμαρίαν καὶ χρυσίαν ἐν τῶ γυμνασίω, ἐφ᾽ ἆν ἐπι|γράφην· ὁ δᾶμος ἐτείμασεν Λεύκιον Οὐάκκιον Λευκίω | υἶον Αἰμιλία Λαβέωνα φιλοκύμαιον εὐεργέταν γυμνασι|αρχήσαντα κάλως καὶ μεγαλοδόξως, ὄνθεντα δὲ || καὶ τὸ βαλάνηον τοῖς νέοισι καὶ πρὸς τὰν εἰς αὔτο χοραγί|αν ταὶς ὐπαρκοίσαις αὔτω κτήσιας ἐν Ζμαραγήω καὶ ἐ|πισκεάσαντα τὸ γυμνάσιον καὶ ἔκαστα ἐπιτελέσαντα | λάμπρως καὶ μεγαλοψύχως, ἀρέτας ἔνεκα καὶ εὐνόας | τᾶς εἰς ἔαυτον. Καὶ ἐπεί κε δὲ τελευτάσῃ, κατενέχθεν|τα αὔτον ὐπὸ τῶν ἐφάβων καὶ τῶν νέων εἰς τὰν ἀγόραν | στεφανώθην διὰ τῶ τᾶς πόλιος κάρυκος κὰτ τάδε· ὁ δᾶ|μος στεφάνοι Λεύκιον Οὐάκκιον Λευκίω υἶον Αἰμιλία Λα|βέωνα φιλοκύμαιον εὐεργέταν στεφάνω χρυσίω ἀρέ|τας ἔνεκα καὶ εὐνόας τᾶς εἰς ἔαυτον· εἰσενέχθην δὲ || αὔτον εἰς τὸ γυμνάσιον ὐπό τε τῶν ἐφάβων καὶ τῶν | νέων καὶ ἐντάφην, ἐν ὦ κε πανεύθετον ἔμμεναι φαίνηται τό|πω. Τὸ δὲ ψάφισμα τόδε ἀνάγραψαι εἰς στάλαν λίθω λεύ|κω καὶ ὀνθέμεναι (sic) εἰς τὸ γυμνάσιον πὰρ ταὶς δεδο|γματισμέναις αὔτω τείμαις. Μῆνος Φρατρίω δεχάτα || ἀπίοντος ἐπὶ ἰερέως τᾶς Ῥώμας καὶ αὐτοκράτορος | Καίσαρος θέω υἴω θέω Σεβάστω ἀρχιέρεος μεγίστω καὶ πά|τρος τᾶς πάτριδος Πολέμωνος τῶ Ζήνωνος Λαοδί|κεος, πρυτάνιος δὲ Λευκίω Οὐακκίω Λευκίω υἴω Αἰμιλί|α Λαβέωνος φιλοκυμαίω εὐεργέτα, στεφαναφόρω δὲ || Στράτωνος τῶ Ἡρακλείδα.

CIG. 3524. Bechtel, Bzb. Btr. V p. 160 sq. n. 60. Titulus intra annos 2 a. Chr. et 14 p. Chr. scriptus esse putandus est, quia Augustus in eo pater patriae appellatur.

6 init. **Ω**. — προαγρημμένω: Meister Dial. I p. 148 putat μ errore bis scriptam esse. — 7 sq. προσονυ|μάσδεσθαι: de hac scribendi ratione apud Lesbios olim usitata egit Blass, Misc. epigr. p. 126; cf. Ausspr. 99. — 10 **ΓΕ**. — 18 πλάθεος, 45 ἐφάβων: hyperaeolice ᾱ pro η scriptam esse recte monet Bechtel; cf. Ahrens Dial. I 88, II 151; Meister Dial. I 64. — 36 fin. **ΕΠΕ**. — 51 **ΝΑΝ**, inde καὶ εὔθετον scripserat Boeckh.

---

438 [= 120] Prope Mytilenas in thermis.

Ἀ βόλλα καὶ ὁ δᾶμος | Αὖλον Κλώδιον Περεν|νίανον στροταγήσαν|τα ἄγνως καὶ εὐσταθέως | ἐν καίροις ἐπιμελήΐας || δευομένοις, τὸν εἴρεα | καὶ ἀρχείρεα καὶ λόγιον | πρύτανιν, ἀγωνοθέταν | ἔνι ἐνιαύτω, πεπληρώκον|τα δὲ καὶ τὰν ἐν τᾶ πρώτα | πάτριδι καὶ νεωκόρω Περ|γαμήνων τῶν συγγενέων | πόλει τὰν ἐπώνυμον | ἀπὺ βασιλέων πρυτανήΐα[ν], || ἂν ἐκ γένεος διαδεξάμε|νος τοῖς τᾶς ἀξίας βάσ|μοις ἀνελόγησε.

CIG. 2189. Bechtel, Bzb. Btr. V p. 131 n. 29. Idem titulus positus est Thyatiris, CIG. 3486. Est aetatis Augusto imperatore inferioris.

6 λόγιον πρύτανιν: cf. Kaibel Ephem. epigr. II ad n. 7. — 15 sqq. ἂν ἐκ γένεος — ἀνελόγησε: »quam prytaniam ex regibus derivatam cum iure hereditario obtinuisset, dignitatis suae gradibus similis et par fuit«; ita vertit Boeckh.

---

439 Prope Mytilenas in thermis.

Ἀρχίππα Ἀθαναεία
Ἀρτέμιδι Θερμία Εὐακόω.

Conze, Reise auf Lesbos, tab. 9 n. 6, coll. p. 17. Bechtel, Bzb. Btr. V p. 136 n. 35. — Titulus est aetatis Romanae. — Archippam ne mulierem Atheniensem putes monet Sauppe, De duabus inscriptionibus Lesbiacis, p. 26.

---

440 Prope Mytilenas in parietinis vici Chalakaes.

[Ἀ β]όλλα καὶ ὁ δᾶμος | Βρῆσον Βρήσω ἀρχίατρον λειτουρ[γό]|τατον, ζὰ τῶν παίδων δὲ καὶ ἐ|κγόνων ἄρχας καὶ ἄλλας

καὶ ‖ κισσοφορίας καὶ ἀγορανομίας | ἐπιτετελέκοντα, κὰ(τ) ταῦτον | δὲ καὶ βουλαρχίαν καὶ νομο|φυλακίαν καὶ [ἄ]λλας, ὄντα Δίος | Αἰθερίω καὶ Ἄμμωνος Ἐλευθε|ρίω καὶ τᾶς Ἀδραστείας καὶ τῶ[ν] | σεβάστων μυστηρίω(ν) π(αια?)νίστη[ν, τ]ὰ[ς] Ἐτηφίλας Ποσείδωνος | Μ[ύ]χα καὶ Μυχίας καὶ τᾶν ἀπα|ραιτ[ή]των θέαν καὶ τᾶς [Κό]|ρας Καλίας καὶ τῶ Δίος τῶ [Ἐ]|παίνω σ[υμπ]άρεδ(ρ)ον, τᾶς τε | Πολίαδος Ἀθάνας παρακε|λεύσταν ὑπὲρ τᾶς πόλιος, τᾶς | τε Ἀρτέμιδος καὶ Ἀπόλλωνος ‖ Μαλέοντος ἀρχίχορον, καὶ ἱε|ροκάρυκα τῶν ἱερέων ζ[α]|κόρων Σαώτηρος Ἀσκληπί(ω, τοῦ δὲ θειοτάτου αὐτο|κράτορος καὶ τῶν τᾶς πό|λιος εἴρων ἱεροθύταν καὶ | * περιηγήταν ἐτέων ἤδ[η] | τεσσαράκοντα καὶ πρὸς | ἄνευ συντάξιος καὶ μίσ|θου, οὔχ[ι ὠ]ς οἱ πρὸ αὔτου.

Conze, Reise auf Lesbos tab. 17 n. 1, cf. p. 53. Bechtel, Bzb. Btr. V p. 133 sqq. n. 34. — Titulus est aetatis Romanae satis recentis; itaque mirum non est, quod ei qui scripsit non contigit, ut veterem dialectum Lesbiacam, quam imitandam sibi proposuerat, puram efficeret. Munerum et deorum nomina, quae commemorantur, explicavit Bechtel l. l.

2 **ΛΛΙΤΟΥΟ**· inde λειτου(ρ[γο]- coniecit Bechtel collato (Bzb. Btr. VI p. 119) titulo Erythraeo Le Bas Voy. arch. III n. 57, in quo legitur: τὸν ἐκ προγόνων καὶ ἀπὸ παιδὸς ἡλικίας λιτουργόν. — 3 **ΓΑΤΟΝ**. — 6 **ΚΑΙ**: inde καὶ αὔτον scripsit Bechtel, ut opponerentur inter se munera, quae per filios, et ea, quae ipse Bresus administravit. Κὰ(τ) ταῦτον sententiae aptius videtur. Similiter scriptum exstat in compluribus titulis: n. 283, 5; 457, 25; 295, 31, aliis; de omissa in scribendo geminatione τ literae cf. Meister, Dial. I p. 267. 137. — 11 **ΠΝΙΣΤΕ**. — 21 **ΓΕΡΕΩΝ**. — 26 **ΚΑΙ** errore repetitum. — 29 **ΟΥΣ**.

---

441 [= 129] Thebis, in Memnonis crure sinistro.

Ἰουλίας Βαλβίλλης,
ὅτε ἤκουσε τοῦ Μέμν(ον)ος
ὁ Σεβαστὸς Ἁδριανός·
Μέμνονα πυνθανόμαν Αἰγύπτιον ἀλίω αὔγᾳ
αἰθόμενον φώνην Θηβαΐκω 'πὺ λίθω.
Ἀδρίανον δ' ἐσίδων τὸν παμβασίληα πρὶν αὔγας
ἀελίω χαίρην εἶπέ ϝοι ὡς δύνατον.

Τίταν δ' ὄττ' ἐλάων λεύκοισι δι' αἴθερος ἴπποις
ἐν * σκίᾳ ὠράων δεύτερον ἆχε μέτρον,
ὠς χάλκοιο τύπεντος ἴη Μέμνων πάλιν αὔδαν
ὀξύτονον· χαίρων [κ]αὶ τρίτον ἆχον ἴη.
Κοίρανος Ἀδρίανος τότ' ἄλις δ' ἀσπάσσατο καὖτος
Μέμνονα κὰν στάλᾳ κάλλιπεν ὀψιγόνοις
γρόππατα σαμαίνοντά τ' ὄσ' εὔιδε κὤσσ' ἐσάκουσε·
δῆλον πᾶσι δ' ἔγεντ', ὤς ϝε φίλ(ε)ισι θέοι.

CIG. 4725. Kaibel, Epigr. Gr. n. 990. Lepsius, Denkmäler aus Aegypten u. Aethiopien, VI tab. 80 Gr. 110. Ectypo per Lepsium confecto usus titulum recensuit Puchstein, Epigr. Graec. in Aeg. rep. (Argentorati 1880) p. 17, *A*. Idem p. 16 demonstravit hoc epigramma primum locum tenere inter ea, quibus Balbilla, Augustae Sabinae Hadriani uxoris comes, narravit, quae imperator ipse et uxor eius, cum ad Memnonem venissent, viderint et audiverint. Et hoc epigrammate et reliquis tribus mulier docta dialectum Lesbiorum poëtarum imitata est.

1 ΒΑΛΛΙΛΛΗϹ. — 5 ΘΗΒΑΙΧΩ. — 7 ΓΟΙ. — 9 init. ЄΝΙ videtur scriptum esse in lapide. — 11 ΑΥΟΝ. — 12. 13 nonnullae literae partim evanuerunt; sententiam Heffterum primum recte restituisse monet Puchstein. — 15 ΓЄ.

Nuper Assi in oppido Lesbo insulae opposito reperta sunt fragmenta titulorum, quae quamquam nondum integra sunt edita, tamen non inutilia esse ad augendam notitiam dialecti Lesbiacae intellegitur ex eis, quae Frederic D. Allen, American Journal of Philology III (1882) p. 463 sq. de eis dixit. Longissimum eorum fragmentorum hoc est:

...ἔξ (?), ἂ σκεύεά ἐσσι δαμόσια ἐπὶ ἀγορανόμω Μεγιστία Σω[γ]ενε[ί]ω· ἡμιμέδιμνοι χάλκιοι τρεῖς, [ἡ]μίεκτα ἔννεα, διχοίνικα δέ[κ]α, χοίνικες ἔπτα, τρίχοα [χ]άλκια τέσσαρα, ἡμίχοον, ἄλ[λο τρ]ίχοον χώναν ἔχον. στά[θμα? χά]λκι[α]· τάλαντα τρί[α... π]εντάμναο[ν, ...

Si haec accurate descripta sunt, Allen recte dixit in titulo Eresio n. 430 *A* 39 pro ἐστι, quod traditum est, scribendum esse ἐσσι; equidem non dubitavi id facere.

Eodem loco Allen titulos sepulcrales edidit qui sequuntur:

Ἀλέκτρα Λαριχεία.
Ἀσίννω Ἀνοδικεία.
Ἀϊκλείδας Λαρίχω.
Λάριχος Ἀϊκλείδα.
Ἀμεννάμενος Λαρίχω.
Ἀδέα Ἡροΐδα.

Ceterum in plerisque titulorum, qui illo loco reperti sunt, dialectum non iam meram Lesbiacam esse sed volgari permixtam, documento sunt τρεῖς, quod est in fragmento supra scripto, et στράταγοι (cf. ad n. 431, 2), quod ex alio affert Allen. Tamen ἀγρεόμενοι, quod idem affert, ex vetustissima dialecto Lesbiaca videtur servatum esse; cf. Meister, Dial. I 177 sq.

PARS QUINTA.

TITULI ARCADICI ET CYPRII.

Vetus erat fama apud Graecos coloniam ex Arcadia in insulam Cyprum deductam esse, quam commemorant Pausan. VIII 5, 2 et Strab. XIV p. 683 (coll. Hom. B 609). Cf. Bergk, de titulo Arcadico (Halae 1860) p. V.

XXII. Tituli Arcadici.

1. Titulus incertae originis et tituli societatis Arcadum.

442 In fragmine, quod videtur fuisse margo cassidis, reperto Olympiae. Roehl.

Δᾶμος τοὶ........ξόραυ.

Kirchhoff, Arch. Zeit. 36 (1878) p. 140 n. 180. Roehl IGA. 106.

---

443 Lamina aenea Olympiae reperta.

['Επεὶ πολλὰ χρήματα ἔ]δοκαν, (ʽ)οἱ τὸ χρύσεον
..........[κατεσκεύ]ασαν τὸ ἱερὸν τῶ Διός,
[ἔδοξεν τοῖ δάμοι ἦ]ναι αὐτὸς καὶ γενεὰν
..............[πρό]ξενος καὶ εὐεργέτας·
...............[ιπ]πος Θεοδότο Μάγνης sic
.... εν Θεβαῖος sic
..................ς Συρακόσιος
.... Σεκυό[νι]ος
..................ς Ἀργεῖος.
['Επὶ.....τὸ].......κλέος καὶ Ὀλυμπιοδό-
[ρο τῶ δεῖνος ἑλλαν]οδικόντοιν.

Kirchhoff, Arch. Zeit. 37 (1879) p. 156 sq., Inschr. aus Ol. n. 304. Roehl IGA. 107. — Literatura est partim vetusta partim Ionica.

Titulum ea aetate scriptum esse, qua non Elei sed Arcades et Pisaei sacra Iovis Olympii administrarent (aa. 365—363), docuit Kirchhoff.

5 sqq. ab initio versuum capita pecuniae solutae scripta fuisse vidit Roehl. — 11 [ἑλλαν]οδικόντοιν: cf. ἱαραρχόντων n. 300, 3 sq.

---

444 Pila Tegeae reperta in vico qui nunc est Piali prope templum Minervae Aleae.

Θεός, Τύχη. |

Ἔδοξεν τῇ βουλῇ τῶν | Ἀρκάδων καὶ τοῖς | μυρίοις, Φύλαρχον ‖ Λυσικράτους Ἀθηναῖον | πρόξενον καὶ εὐεργέτην | εἶναι Ἀρκάδων πάντων | αὐτὸν καὶ γένος. | Δαμιοργοὶ οἵδε ἦσαν· |

A	*B*
Τεγεᾶται·	Κυνούριοι·
Φαιδρέας	Τιμοκράτης
Ἀριστοκράτης	Καλλικλῆς
Νίκαρχος	Λαφάνης
Ξενοπείθης	[Σ]άϊς
Δαμοκρατίδας.	Σάϊς.
Μαινάλιοι·	Ὀρχομένιοι·
Ἁγίας	Εὐγείτων
Εὐγειτονίδας	Ἀμύντας
Ξενοφῶν.	Πάμφιλος
Λεπρεᾶται·	Παυσανίας
Ἱππίας	Καλλίας.
Γάδωρος.	Κλ[η]τόριοι·
Μεγαλοπολῖται·	Τηλίμαχος
Ἀρίστων	Ἀλκμάν
Βλύας	Αἰσχύτης
Ἀρχέψιος	Δαμάγητος
Ἀτρεστίδας	Πρόξενος.
Γοργέας	Ηραῆς·
Σμίνθις	Ἀλεξικράτης
Πλειστίερος	Σιμίας
Νῖκις	Θεόπομπος
Λάαρχος	Ἁγίας

Πολυχάρης.
Μαντινῆς·
Φαῖδρος
Ϝᾶχος
Εὐδαμίδας
Δαΐστρατος
Χαρείδας.

Ἱπποσθένης.
Θελφούσιοι·
Πολέας
Ἀλεξίας
Ἐχίας
Παυσανίας
Λύκιος.

Foucart apud Le Bas, Voy. arch. II n. 340 *a* (Explic. p. 194). — Hoc decretum a. 224 a. Chr. factum esse demonstrare studet Foucart; cui refragatur Droysen, Gesch. d. Epigonen II p. 131. Non multo post necem Aristodemi tyranni Megalopolitani a. 251 patratam decretum factum esse putat Weil, Zeitschr. f. Num. IX (1881) p. 38 sqq.

2. Tituli Mantinici.

445 [= 32] Pars baseos marmoreae Olympiae effossa.

Πραξιτέλες ἀνέθεκε Συρακόσιος τόδ' ἄγαλμα
καὶ Καμαριναῖος· πρόσθα δὲ Μαντινέαι
Κρίνιος υἱὸς ἔναιεν ἐν Ἀρκαδίαι πολυμέλο[ι]
ἐσλὸς ἐόν, καί Ϝοι μνᾶμα τόδ' ἔστ' ἀρετᾶς.

E. Curtius, Arch. Zeit. 34 (1876) p. 48 sq. n. 6. Kaibel, Epigr. Gr. n. 744. Roehl IGA. 95. — Curtius putat Praxitelem Mantineae natum Syracusas transmigrasse, deinde post tyrannos exactos anno 461 a. Chr. Gelenses ad restituendum oppidum Camarinaeorum secutum esse. De aetate ei assentitur Kirchhoff Alph.[3] 149; cf. Roehl ad IGA. 41.

2 πρόσθα δὲ: agnovit Dittenberger Herm. 13 p. 388 sqq. Litera paenultima utrum **D** sit an **R**, incertum est; de **D** cogitari posse negat Roehl, qui Curtium et Kaibelium secutus scripsit: πρόσθ' ἄρ' ἐ[μ] Μαντινέαι.

446 Mantineae intra portam Tegeaticam.

[Ἀπὺ . . . . .] Ἀπόλλονι
καὶ συνμάχον δεκόταν. sic

Foucart apud Le Bas, Voy. arch. II n. 352 *b* (Explic. p. 209). IGA. 100.

---

447 Tabula lapidis calcarii Mantineae reperta.

Διὸς
Κεραυνô.

IGA. 101.

---

448 Lapis calcarius Mantineae erectus.

Ἀχ[ε]λῴο.

IGA. 104. — An Ἀχ[ε]λοίο?

---

449 Mantineae, inter vias Pallantium et Tegeam tendentes.

Ἐπ' Ἀλέας·
Εὔδοξος Ἰμπεδέα
Δαμαγόρας Ἐξίκεος
Ἄρχυλλος Γλαυκίδαυ.
Ἐνυαλίας·
Σάων Σάωνος
Ἀλκίας Ἀριστοξένω
Τρίτιος ϝικαδίω
Δαμοκλῆς Καβαίσω.
Ὁπλοδμίας·
Θεόμαντις Θεομάντιος
Γόργων Διονυσίω
Τιμόφαντος Ἀλκίππω.
Π[ο]σοιδαίας·
Εὐτέλης Ὀριπίωνος
[Σ]ακλῆς Ἐπιστράτω
[Θ]ωρακίδας Ἀγησινόω
.λύγας ϝιστίαυ.
ϝανακισίας·
Εὐχαρίδας Πιστοξένω.

Foucart apud Le Bas, Voy. arch. II n. 352 *p* (Explic. p. 220). Formas literarum dicit esse quarti a. Chr. seculi.

Nomina quinque tribuum derivata sunt de nominibus deorum, qui sunt: Ἀθηνᾶ Ἀλέα, Ἐνυάλιος, Ζεὺς Ὁπλόσμιος, Ποσειδῶν, Διόσκουροι. Cf. Foucart l. l. et Bursian, Geogr. v. Grchld. II p. 209.

14 Π·ΣΟΙΔΑΙΑΣ.

---

450 Mantineae.

Ἐπικράτης Ἐξακίδαυ, Θέμιστος Ἐπικράτεος.

Foucart apud Le Bas, Voy. arch. II n. 352 *e* (Explic. p. 211).

3. Tituli Tegeatici.

451 Lapis insertus muro ecclesiae, in Tegeatide.

Ποσοιδᾶνος, ʽΕρμ[ᾶνο]ς, ʽΕρακλέ(ο)ς,
Χαρ(ί)τ[ον].

IGA. 94. Cf. Kirchhoff, Alph.[3] 149.
Primae literae nihil superest nisi ΙΙ.

---

452 Tegeae, ex schedis Fourmonti.

. . . . . . [ἀνέ]θεκεν
ϝασστυόχο.

CIG. 1520. IGA. 96. — Eidem lapidi aetate Romana nomen L. Mummii inscriptum est.
1 ΘΕΚΕ·Α.

---

453 Tegeae.

Κλέον, | Ἀρχοίας, | Δαμοκλε̃ς, | Ἐπιτέ-
λες, || Σοσίας, | Κλετέας, | Λανπετί[δας?].

CIG. 1512. IGA. 102.
6 Κλετέας: *e* longa est η; cf. [Κ]ληονίκεος n. 454 *A*, 8, ἦναι n. 457, 10, ἰγκεχηρήκοι ib. 12, φθήρων ib. 17, [Π]λήσταρχος, Πληστίερος n. 460, 5. 11, Κλήτωρ n. 465, 1.

---

454 Tegeae.

Ἐν ἀγ[ῶ]σι τοῖς Ὀλυμπιακοῖς τῷ μεγίστῳ καὶ κεραυνοβόλῳ
Διῒ ἀνατεθειμένοις ἐκομίσαντο του[ς] στεφάνους·

B	*C*
[ʽΙερῆς . . . . .]	ʽΙερῆς Σωκρέτης.
[Ἐπ’ Ἀθαναίαν πολῖται·]	ʽΙπποθοῖται πολῖται·
. . . .	Περίλαος Σίμων[ος]
. . . . ίδαυ	Δεξίας Μνασιστράτ[ω]
. . . . . . Φίλωνος	Δαμόστρατος Ἀριστοδά[μω]
. . . . ος	Ἐπ’ Ἀθαναίαν πολῖται·
. . . . . . [Σ]ωτέλεος	Ἀριστοπάμων Ἀντίφα(ν)τος
. . . . . . [Κ]ληονίκεος	Ἀγαθοκλῆς Ἐπιτέλεος.

[Κραριῶ]ται πολῖται·
.....λας Πυθαγγελία[υ]
[Ξ]ενόφαντος Ἀρίστωνος
Νικίας Νικοδάμω
[Ἰ]σόδαμος Χρειμίαυ
Καλλίας Αρίστωνος.
[Μέτ]οικοι·
Δαμάτριος Ἀπολλωνίδαυ
Πιστοκλῆς Φιλλίαυ
Σωσικλῆς Μόσχω
Ὀνάσιμος Καλλίαυ
Χαρμίων Ξένωνος
Ἀγέμαχος Ἀ[γ]ίαυ.
Ἀπολλωνιᾶται πολῖται·
Σιμίδας Θίξωνος
Ἰμπεδοκλῆς Θεοτίμω
Ἵππικος Ἀλεξιάδαυ
Δαμαίνετος Εὐρυτ[ί]μω.
Μέτοικοι·
Ἀριστόβιος Εὐπράκταυ.
Ἱπποθοῖται πολῖται·
Θεοκλείδας Θεοκλέος
Μεγαλίας Μεγαλίαυ
Εὐθυκρέτης Πολέαυ.
— — —
Ἱερῆς Δαμόστρατος.
Κραριῶται πολῖται·
Ἀλκισθένης Λυσιστράτω
Ἐπαίνετος Γοργιππίδαυ
Δαμαίνετος Ἀγαθίαυ.
— — —
Μέτοικοι·
Ἀρίστων Ἀρίστωνος
Σεύθας Σ...ω.
— — —
— — —
Ἀπολλωνιᾶται πολῖται·
Δεξίας Σωτέλεος.
— — —

— — —
Κραριῶται πολῖται·
Αἴσων Μικίωνος
Ἀγασέας Ἀριστοφάνεος
Γόργιππος Γόργιος
Ἱέρων Ἵππωνος
Τελέστας Πάγω
Ὀδαῖος Ἐργονίκω.
Μέτοικοι·
Θεόδωρος Πραξιδάμω
Λαμίσ(κ)ος Ὑπεράνθεος.
Ἀπολλωνιᾶται (πολῖται)·
Θρασέας Φίλωνος
Πατροκλείδας Ξενοφάνεος
Ξενότιμος Εὐμηλίδαυ
Τιμοκλῆς Τιμοκρ(έτ)εος
Μικίων Γόργω
Φαντιάδας Φιλοκλέος
Δαμοκλῆς Ἀπολλωνίδαυ.
Μέτοικοι·
Δαμοκλῆς.
Ἱερῆς Φιλόδαμος.
Ἐπ' Ἀθαναίαν πολῖται·
Δαμέ*ας Φυτίω
Φίλων Ἀριστοτέλεο[ς]
Καλλίστρατος Ἱπ[π]άσω.
Μέτοικοι·
Ὀλυνπιόδωρος Ὀλυν[πιοδώρω]
Δεξικράτης Δεξι[κράτεος]
Ἀριστείδας Δίωνος.
Κραριῶται πολῖται·
Κλέας Θρασέαυ
Διοκλῆς Ἐπάλκε[ος]
Νικασίας Λακρί[τω]
Δαμαίνετος Δει....
Νεοκλῆς Θεοχάρ[εος]
Νικίας Ἀλκισθένεος
Καλλιπάτας Ἱερο....
Καράνιος Αἴσχρ[ωνος]

— — —

Ἱπποθοῖται πολῖται·
Ἀρισταῖος Τιμοστράτω
Εὔδοξος Κλεαιν[έτω].
[Μέτ]οι[κοι]·
Νικάσιππος Ἀσφα[λίω].
Ἐπ' Ἀθαναίαν πολῖται·
[Ἵπ]παρχος Διοφάντω.
. . αται . . . .

— — —

Μέτοικοι·
Φιλιστίδας Εὐφρ . . . .
Σωσικράτης Καλλί[αυ].
Ἱερῆς Τιμοχρέτη[ς].
Κραρι[ῶται] πολῖται·
Σθέν[νις] . . . . αυ
. . . . αυ

